456 οἰωνοί· σαρκοφάγα ὄρνεα vg[6]Σ καὶ πάντα, γῦπες, κόρακες. εἴρηνται δὲ οἰωνοί, δι᾽ ὧν οἰωνιζόμεθα τὰ μέλλοντα, ὅθεν καὶ οἰωνοπόλοι οἱ μάντεις. ἢ ὄφεις
457 οἰωνοπόλοι· μάντεις, ὀρνεοσκόποι, ὀρνιθομάντεις (Α 69 ..) Hom.
458 οἰωνός· ὄφις. ἐπιεικῶς γὰρ λέγεται εἰς τὰς μαντείας τοὺς ὄφεις ἔχειν, οὓς καὶ οἰωνοὺς ἔλεγον D
459 οἰῶ· δοκῶ. μόνῳ
460 ὁ Ἰωθόρ· ὁ περισσός On. sacr.
461 †οἰοταζομένης· φιλοτιμουμένης
462 οἰωτός· χιτὼν ἀπὸ ἐρίων D
463 *ὁ καθείς· ὁ χαλάσας vg[1]AS[3]Br[98]
464 ὁ καθ᾽ εἷς ἡμῶν· ἕκαστος ἡμῶν
465 *ὁ καυλός· ὁ κλάδος (Exod. 25, 31) AS[2] LXX
466 ὀκείλασαν· τὴν ἐποκείλασαν ναῦν
467 ὀκέλλειν· ἐμβάλλειν. προσορμεῖν
468 *ὀκέλλει· προσορμεῖ vg[1]AS[2]Br[99]. καὶ μὴ κρατεῖ ἑαυτοῦ
469 ὅκ᾽ ᾖ· ὅτε ᾖ AS[1]
470 ὀκιμβάζειν· διατρίβειν. καὶ στραγγεύεσθαι (v[οιω3]) D

---

448 Ap. S. 119, 26; Schol. **449** Schol. **452** cf. Schol. **453** cf. Σ ο 88 **456** cf. Ap. S. 119, 29; – ὄρνεα Σ ο 89 **457** – ὀρνεοσκόποι Schol. **460** On. Vat. 179, 17; On. Colb. 94 **467** προσορμεῖν Σ ο 90 **468** Ph ο 176 | **470** | Ph ο 177

---

449 cont. H: nov. gl. Mus. | οἴω H: **450** οἰῶν H: hoc c. οἴων conf. agn. Schm. **451** παρατησάμην H: Alb. = K **454** l. οἰώνιχον H: le. et em. Bergk Rel. 231 | ad fin. τὸ ς (καὶ) ζ α.ἴη H; del. Mus. **455** h. e. οἰωθέντα La. **456** δι᾽ ὧν οἰώμεθα H: Dind. | τὰ μελ( ) H: Vales. Heins. Biel. **459** οἴω H: hoc c. οἰῶ conf. agn. Schm. **460** οἰοθὸρ, ὁ προμηθεύς H: οἰωθόρ Voss. Pears. 529, sep. Schm.; Ἰωθώρ On. Sacr. **461** ονοταζο-μενης· φαυλιζομενης La. **463** ὀκαθεὶς H: Ald. | ‘vix 3 Macc. 5, 34 perperam interpretatus’ La. **464** καθεὶς H: Schm. | ἐκτὸς H: La. **465** ὀκαυλὸς H: Ald. **466** ὀκειλάσαν H: accent. Mus. **467** ὀκελλεῖν H: accent. Mus. **468** προ|ορει H, μ add. Mus.: Alb. = K Ph **470** στρατεύεσθαι H: Sop. Pears. 529 = K Ph

D **471** ὄκκαβος· τὰ περὶ τὸν βραχίονα ψέλλια

D **472** ὄκκα σάζηι· ὅταν στοιβάζηι

D **473** ὄκκον· ὀφθαλμόν

D **474** ὀκκῦλαι· τὸ ὀκλάσαι, καὶ ἐπὶ τῶν πτερνῶν καθίζεσθαι

K + D **475** ὀκλαδίας· *θρόνος πτυκτός AS^{6}, δίφρος ταπεινός, ὃν οἱ ἀκόλουθοι φέρονται τοῖς εἰς τὰς ἀγορὰς ἐξιοῦσι πλουσίοις. καὶ πεποίηται τοὔνομα παρὰ τὸ κεκλάσθαι

476 *ὀκλάζειν· λαγγάζειν AS^{2}(vg^{1}Σ). εἰς γόνυ κάμπτειν (vg^{1}AS^{3}Σ). διστάσαι (vg^{1}Σ)

Att. **477** *ὀκλάξ· ἐπικεκαμμένως AS^{5}

478 ὀκνεῖ· δέδοικε. δειλιᾷ, εὐλαβεῖται. οὐ βούλεται [φόβος]

Hom. **479** ὀκνείω· ὀκνῶ. καὶ τὰ ὅμοια (E 255). καὶ ὀκνηρός

480 ὀκνόδραστον· πᾶν πρᾶγμα ἄγνωμον

D **481** ὄκνος· εἶδος ἐρῳδιοῦ. καὶ φόβος

482 *ὀκνῶν· ἀναδυόμενος g^{1}AS^{3}Σ. φοβούμενος

483 *ὀκοῖον· ὁποῖον vg^{1}AS^{2}. Ἀττικῶς vg^{1}

D **484** ὀκορνούς· τοὺς ἀττελέβους. καὶ τὰ ἀκριδώδη οὕτω λέγουσιν (Aesch. fr. 256 R.)

D **485** ὀκριάζων· τραχυνόμενος (Soph. fr. 1075 R.)

486 *ὀκρίβαντας· ἐνβάτας A^{4}S^{8}Σ

487 *ὀκρίβας· βῆμα ἡνιόχου g^{1}Σ

D **488** ὀκρίβας· οἱ μὲν ὄνον φασίν, οἱ δὲ ἄγριον κριόν, ἄλλοι κλίμακα. κυρίως δὲ τὸ λογεῖον, ἐφ᾿ οὗ οἱ τραγῳδοὶ ἠγωνίζοντο. τινὲς δὲ κιλλίβας τρισκελής, ἐφ᾿ οὗ ἵσταντο οἱ ὑποκριταὶ καὶ τὰ ἐκ μετεώρου λέγουσιν

Hom. **489** *ὀκριόεντι βαλών· τραχείᾳ βαλών (M 380) A^{5}

---

475 δίφρος – πλουσίοις Ph ο 178; cf. Poll. 3, 90. 10, 47; Athen. 12, 512c **476** cf. Σ ο 91 **478** εὐλαβεῖται cf. Ph ο 182 **479** ὀκνῶ Schol. **481** Arist. h. an. 617a5 | **482** Σ ο 92 | **484** Ph ο 188 (Ion.) | **485** Ph ο 190 (cit. Soph.); Theogn. can. 130 (C. 23, 24) **486** Σ ο 93 **487** Σ ο 94 **488** τὸ λογεῖον – Schol. Plat. conv. 194b (43); τὸ λογεῖον – ἠγωνίζοντο Ph ο 187 (cit. Plat.) **489** cf. Schol.

---

472 σάζει H: La. | ὅταν τύχη H: La. **473** cf. Brugmann, SBSächs.Ak. 1897, 33 **474** ὀκκύλαι H: accent. Schm. | πτερῶν H: HSt. Ind. | καθέζεσθαι H: Schm. **475** ἀξιοῦσι H: Mus. | κλάσθαι H: La. **477** ὄκλαξ [acc. dub.] H: accent. Mus. | ἐπικαμένος (?) H: Mus. **478** incl. e gl. 481 irreps. agn. Heins.; φόβῳ Tosi 1980–2, 229–30 **479** ὀκνειῶ H: accent. Mus. **480** οἰκνάδραστον H: Voss. Pears. 529 (ὀκνα-) **483** Ἰωνικῶς Pears. 529; Ἰακῶς Mein. Anal. Alex. 263, 1; ‘sed sua dialectorum notitia Cyrillo relinquenda’ La. **484** ἀττελάβους H: Alb. = Ph | ἀκριώδη H: Guyet. | gl. α 2495 ἀκορνοί. Strab. 13, 1, 64 (p.614, 23 C.) κόρνοπας cft. Garcia Ramón 2007, 11–12 **486** ὀκριβαντάτας· ἐνβατάτας H: Mus. = K, cf. Σ | v. l.: gl. 280 **487** ὀκρίβατον H: Pears. 529 = KΣ | σχῆμα H (KΣ): post Ruhnk. La.; ὄχημα Σ$^{B\ m.\ alt.}$ (‘ex usu Medii aevi’ La.) **488** ὄνομα H: Heins. Voss. Kust. al. | λόγιον H: Heins. Pears. 529 | κέλλιβας τρισκελεῖς H: HSt. Ind.; καλλίβαντα τρισκελη Schol. Plat. **489** βάλλω bis H: Gron. | τραχέϊ Gron.

490 ὀκριόεν· τραχύ (S^9). σκληρόν. στερεόν. ὀργίλον
491 *ὀκριόεντι· τραχεῖ (Δ 518) AS^7 Hom.
492 ὀκριόωντο· ἐτραχύνοντο g^3. ὠργίζοντο. μεταφορικῶς ἀπὸ τῶν ἄκρα πολλὰ ἐχόντων λίθων. ὄκρις γὰρ κυρίως ὁ τραχὺς λίθος (σ 33) Hom.
493 ὁ Κρὴς τὴν θάλατταν· ὡς Κρητὸς ἐν θαλάττῃ χειμασθέντος, εἶτα προσγαληνιῶσαν αὐτὴν ἰδόντος 'εἴ σε μὴ ᾔδειν, ἐπίστευσα ἂν ὡς ἀληθευούσῃ' εἰπόντος Prov.?
494 ὀκρυόεν· φρικῶδες
495 *ὀκρυοέσσης· φρικτῆς AS^6. χαλεπῆς (Ζ 344) Hom.
496 ὀκτάδιον· καλάθιον πρὸς ὀρνιθάρια
497 ὀκτάκνημα· ὀκτὼ κνήμας ἔχοντα (Ε 723) Hom.
498 ὀκτήσεις· οἴσεις [ὀκκήσεις]
499 Ὀκτώπας· ποταμός (Aesch. fr. 149 R.) D
500 ὀκτώπηχυ· τὸ ὀκτάπηχυ (Philem. fr. 191 K.–A.) Att.
501 ὀκτώπους· σκορπίος (Cratin. fr. 80 K.–A.) Att.
502 ὀκχεῖν· φορεῖν. ἴσχειν
503 ὀκχή· στήριγμα, βακτηρία, ἔρεισμα, σκῆπτρον (Callim. fr. 355, 2 Pf.) D
504 ὀκωχεύειν· ἔχειν καὶ συνέχειν
505 ὅλα· τὰ ἐντὸς τῆς σηπίας στρογγύλα D
506 †ὀλαεῖ· ἐνοχλεῖ. καὶ ὀλαθεῖ ὁμοίως
507 ὀλαί· κριθαί. ἀπαρχαί
508 ὀλαιμεύς· τὸ τὰς ὀλὰς βάλλων D
509 ὀλαιτοί· σπερμολόγοι. καὶ ὀλατοί D
510 ὀλβάχνιον· κανοῦν Δεινολόχος (fr. 13 K.–A.) D
511 ὀλβιόδαιμον· τρισόλβιε. μακάριε, κατὰ τὴν εὐδαιμονίαν (Γ 182) Hom.

---

491 Schol. **492** cf. Ap. S. 119, 34; ἐτραχύνοντο Schol. **493** Ph ο 189 **495** Schol. | **497** Schol. **499** cf. Ph ο 192 (cit. Aesch.) **500** cf. Ph ο 191 (cit. Philem.) **501** Ph ο 193 **508** E. Gen. 224 Mill. (EM 622, 9) (Orus); cf. Ph ο 197

---

490 ὀκριθὲν H: Guyet. **491** ὀκριθέντι H: Guyet. = Schol. | τραχὺ H: Mus. = K Schol. **492** ὀκριόεντο H: Guyet. = K testt. | ὀκριὸς H: Guyet. Salm. **493** ὀκριστὴν H: Mus. = Ph | πρὸς H: Mus.; cf. Ph | εἴδοντος H: Mus.; cf. Ph | εἴδειν H: Mus. = Ph **494** ὀκρίθεν H: Schm. **497** spat.κτάκνημα H: nov. gl. et ὀ inser. Mus. **498** ὀκχήσεις agn. Alb., qui dittogr. del. **500** ὀκτωπῆχυ H: accent. Mus. **501** ὀκτώπας H (Ph): Scal. Heins. Pears. 530 **502** ὀκνεῖν· φρονεῖν H: Alb. (φορέειν). Schm. | ἰσχεῖν H: accent. Mus. **503** ὄκχν^{η} H: post ed. 1521 (ὄκχη) Pears. 530. Alb. **504** καὶ om. Ald. **505** ὀλά ci. Conom. 1969, 213 coll. gl. 626 | σηπυίας H: Alb. **506** ὀχλεῖ … ὀχλέει Valck. ad Eur. Phoen. p.338A **507** ὅλαι H: accent. Alb. **508** ὀλαιμεύειν Pears. 530 | ὅλας H: accent. Alb. | βάλλειν H: HSt. Ind. **508–9** ὀλαιμεύς· σπερματολόγος E. Gen. (ὀλεμεύς EM, def. Saussure 582) | 'temptavi ολαι⟨χο⟩ευς· το – βαλλον ⟨αγγειον⟩ et ολαι⟨χο⟩ος cf. gl. 527 nondum expedita' La. **510** ὀλβάχιον H: Sop. Heins. Pears. 530; cf. gl. ε 7077 **511** ὀλβιοδαίμων H: Jens. Luc. Hes. 169 | οὐδανίαν H: Oudendorp

Hom. **512** *ὄλβιος· πλούσιος, εὐδαίμων vg^{1}AS^{7}Br^{100}Σ. ὁ διὰ τοῦ ὅλου βίου μακαριστός (ϱ 420)

Eur. **513** *ὀλβοδότης· πλουσίως παρέχων AS^{9}(g^{5}). ὄλβος γὰρ ὁ πλοῦτος (Eur. Bacch. 573)

LXX + Hom. **514** *ὄλβος· πλοῦτος vg^{3}A^{10}(Br^{101}), χρῆμα (Sir 30, 15) (A^{10}). τιμή (γ 208?)

N. T. **515** ὀλοθρευτής· λυμεών (1. Ep. Cor. 10, 10)

D **516** ὄλεθρος βαθύς· ἔνιοι ⟨παρὰ Ἀριστοφάνει (fr. 332, 3 K.–A.)⟩ ἐπὶ κόσμου γυναικείου· ⟨ἄλλοι ἐπὶ δαπάνης· ἀποδυσπετοῦντα γὰρ εἰπεῖν τὸν παρὰ τῷ Ἀριστοφάνει. ὄλεθρος γὰρ ὁ ⸤θάνατος g^{ολλ5}S^{11}⟩. *ἀπώλεια g^{ολλ5}

Hom. **517** ὀλέθρου πείρατ' ἐφῆπται· ἐπιδέδεται καὶ ἐξῆπται τὸ τοῦ ὀλέθρου ὑμῶν πέρας· οἷον δέδεσθε τῷ ὀλέθρῳ (Η 402)

Eur. **518** *ὀλεῖ· [ἐνοχλεῖ.] ⸤ἐξολοθρεύσει (Eur. Andr. 856) vg^{4}AS^{8}Br^{106}

519 †ὀλείϱ· ἔλιος μῦς

N. T.? **520** ὀλέθριος· ἐξολοθρευτής (2. Ep. Thess. 1, 9 v. l.?)

521 ὀλέκειν· ἀπολλύναι (A^{7}). πολιορκεῖν. *φονεύειν (vg^{2}A^{5}S^{12}Br^{104}Σ)

Hom. **522** ὀλέκοντο· *ἀπώλλυντο A^{9}(g^{ολλ2}). ἐπολιορκοῦντο. ἐφονεύοντο. ἐξωλοθρεύοντο (Α 10)

523 ὀλέκρανα· οἱ πήχεις, τὰ ἐπὶ τῶν ἀγκώνων ὀστᾶ. καὶ *ὀλέκρανες τὰ αὐτά (AS^{10})

D **524** ὀλερόν· βορβορῶδες, τεταραγμένον

Hom. **525** ὀλέσαι· ἀπολέσαι (Ω 242)

Hom. **526** *ὀλετῆρες· φονεῖς (Σ 114?) vg^{3}A^{6}Br^{105}

527 †ὄλεχθον· τὸν μαζονόμον

Hom. **528** *ὄληαι· ὀλοίης, ἀποθάνῃς (Γ 417) AS^{1}

529 †ὀληθείς· ὀδυνηθείς

530 †ὀλήθη· καὶ τὰ ὅμοια

531 †ὀλητῆρες· φονεῖς

D **532** ὀλιβράξα· ὀλισθεῖν

D **533** ὀλιβρόν· ὀλισθηρόν. λεῖον. ἐπισφαλές

---

512 εὐδαίμων – Ap. S. 120, 3; cf. Σ ο 96 **514** gl. Sir. **516** κόσμου γυναικείου cf. Ph ο 202 **517** Ph ο 201 **521** φονεύειν cf. Σ ο 98 **522** ἀπώλλυντο Schol. **523** πήχεις cf. Ph ο 206; τὰ – ὀστᾶ cf. Ph ο 205; lex. rhet. 286, 22; EM 62, 19; Poll. 2, 140 **526** cf. Σ ο 100

---

515 ὀλεθρευτής Croenert **516** le. ὄλεθρος H: Voss. | suppl. K^{hm} (εστι δε: La.) **517** δέδεσθαι H (Ph): Mus. | τῶν ὀλέθρων H: La. = Ph **519** ἔλειος Sop. Salm. Guyet. | 'v. l. gl. 574 potius quam forma dialectica' La. **521** ὀλύκειν H: Palm. Arcer. Pears. 530 = (KΣ) | ἀπολύναι H: Mus. | πολεορκεῖν H: Mus. **522** ἀπόλλυντο H: Mus. | ἐξολοθρεύοντο H: Mus. **524** ὄλερον H: accent. Schm. **525** ἀπωλέσαι H: Mus. **527** ολαιχοον La. | τὸν μαζόνομον H: accent. Mus. **528** ὀλήας H (K): Mus. **529, 530** 'h. e. αλγηθεις, αλγηθη' La.; ὀνιαθείς Schm. 1859, 208 **530** cont. H: nov. gl. Voss. **531** dittogr. gl. 536 (Schm.) **532** ὀλιβάξαι H: Alb. | ὀλίσθειν H: accent. Mus.

534 *ὀλίγα ἄττα· ὀλίγα τινά vg^{5}AS^{17}**Br**^{111}Σ Att.
535 *ὀλιγαρχίαι· … ὀλίγοι ἦρχον AS^{22}
536 *ὀλιγαρχούμενοι· ὑπὸ ὀλίγων ἀρχόμενοι. τρεῖς δέ εἰσι πολιτεῖαι, βασιλεία, ὀλιγαρχία, δημοκρατία vg^{2}AS^{12}**Br**^{108}Σ
537 ὀλίγῃ ἐνὶ χώρῃ· ἐν στενωπῷ (Ρ 394) Hom.
538 ὀλίγῃ ὀπί· βραχείᾳ φωνῇ (ξ 492) Hom.
539 ὀλίγη δὲ ἀνάπνευσις πολέμοιο· ὀλίγον καιρὸν εἰς διάπνευσιν δίδωσιν ὁ πόλεμος (Λ 801) Hom.
540 ὀλιγηπελέων· ὀλίγον δυνάμενος, ἀσθενής, ἄτονος (Ο 24) Hom.
541 ὀλίγινθα· ὀλίγον D
542 ὀλίγγοι· εἶδος ἀκρίδων. τινὲς ῥιζίον, ὅμοιον βολβῷ D
543 ὀλίγιστος· ὀλιγοχρόνιος. ἐλάχιστος (Τ 223) Hom.
544 ὀλιγίστου· παρὰ μικρόν
545 *ὀλιγόγνωμον· ὀλίγωρον (vg^{9}AS^{25}Σ)
546 *ὀλιγοδεής· ὀλίγα χρῄζων vg^{10}AS^{26}**Br**^{114}Σ
547 ὀλιγοδρανέων· ὀλίγον δυνάμενος (Ο 246) Hom.
548 *ὀλιγοδρανής· ὀλίγον ἰσχύων vg$^{\text{ολβ}6}$Σ. ὀλίγον δυνάμενος AS^{19}
549 ὀλίγοισι μικροῖς (μ 252) Hom.
550 ὀλίγον· μικρὸν ἢ οὐδέν (Ε 800) Hom.
551 ὀλίγον γόνυ γουνὸς ἀμείβων· πόδα κατὰ τὴν πορείαν ὀλίγον ἐναλλάσσων, ἠρέμα ἀναποδίζων, καὶ οὐ προτροπάδην φεύγων· ὅπερ ἐστὶν εἰς τοὔμπροσθεν τετραμμένος, οἷον νῶτα διδοὺς τοῖς πολεμίοις (Λ 547) Hom.
552 ὀλιγωροῦντος· ἀδημονοῦντος
553 *ὀλίγου δεῖν· σχεδόν vg^{3}AS^{15}**Br**^{109}Σ, ἐγγύς Att.
554 ὀλιγόφρων· μικρόψυχος
555 ὀλιγοψυχήσας· μικροψυχήσας
556 *ὀλιγωρεῖ· ῥαθυμεῖ, ἀμελεί AS^{21}(g$^{\text{ολλ}7}$)
557 ⟨ὀλιγωρήσας⟩· [ἢ] ὀλίγην ἔχων φροντίδα AS^{24}
558 *ὀλιγώρως· μικρολόγως. σκνιφῶς. ῥυπαρῶς A^{23}
559 ὀλίζονες· ἥσσονες, ἐλάσσονες (Σ 519) Hom.

---

534 Σ ο 101 **536** Σ ο 102; lex. rhet. 285, 3 (le. = ο 535) **540** cf. Ap. S. 120, 6 **542** cf. Σ ο 104 | **544** Ph ο 212 **545** cf. Σ ο 103 **546** Σ ο 105 **547–48** Ap. S. 120, 5; 548 Σ ο 106 **549** Schol. **553** Σ ο 107 | **559** Ap. S. 120, 7; ἐλάσσονες cf. Schol.; Ph ο 221

---

536 ὀλιγὰρ? H: Mus. **537** στενοπῷ H: Mus. **539** ἀναπνεό(?)σεις H: Mus. **541** de conformat. cf. Kretschmer, Glotta 30, 1943, 132 **542** ὀλίγιοι H: Pears. 530 = (Σ) | ῥιζὶον H: accent. Mus. **543** ὀλιγιστὸς H: accent. Mus. **544** ὀλιγωστοῦ H: Schm. = Ph **545** ὀλιγογνῶμον H: accent. Mus. **547** ὀλιγοδράνεων H: accent. Mus. **548** ὀλιγοδράνος H: Alb. = ΚΣ **551** γοῦνος H: accent. Mus. | ἐναλάσσων H: Jens. Luc. Hes. 170 **552** ὀλιγοροῦντος H: Mus. **555** -ψύχησα bis H: Schm. **557** cont. H: nov. gl. et le. suppl. Alb. = K **559** ὀλιζῶνες H: Mus. = testt.; Thessali teste St. Byz. 489, 15 (ο 15)

560 *ὀλιζοῦται· μειοῦται, ⌊ὀλιγοῦται AS[14]
561 ὀλιζοῦνται· μειοῦνται, ὀλιγοῦνται
Hom. 562 Ὀλιζών· πόλις (B 717). καὶ ὁ ἐλάσσων
563 ὁλκάς· εἶδος πλοίου
564 †ὀλίκοι· ἐκκομίδαι
565 *ὁλικῶς· ἐξ ὅλου vg[1]AS[11]Br[107]. ἐπιρρηματικῶς AS[11]Br[107][v[1]]
D 566 †ὄλινοι κριθῆς· δέσμαι. καὶ ὤλενος παρὰ Κυπρίοις
D 567 ὀλινύει· λήγει. ἀργεῖ
D 568 ὀλισβοκόλλιξ· παρὰ τὸ ἐτυμοκόλλιξ (com. ad. 397 K.–A.)
LXX 569 *ὀλισθαίνει· πίπτει (Sirac. 21, 7 v. l.) vg[6]AS[18]Br[112]
570 ὀλισθεῖν· δραμεῖν. πεσεῖν. ἐλθεῖν
LXX 571 *ὀλισθήμασι· πλάναις vg[7]A[20]Br[113]. παραπτώμασιν (Ierem. 45, 22) A[20]
572 ὀλισθηρόν· πτωτικόν
LXX 573 *ὄλισθος· πτῶσις (Ps. 72, 18 Sym.) g[ολλ8]
D 574 ὀλίς· σκίουρος, ἔλειος
575 ὁλκά· δυνατά vg[ολο16]
576 ὁλκάδεσσι ναυσί, ⌊πλοίοις (vg[3]AS[6]Br[115]Σ)
577 ὁλκάζει· ἕλκει, χαλιναγωγεῖ
578 ὁλκαῖον· λακάνη, νιπτήρ. κρατήρ
K + D 579 ὁλκάς· *πλοῖον [AS[12]], ναῦς φορτηγός. ⟨καὶ παρὰ Ἀλκμᾶνι (PMGF fr. 142) ὁλκὰς⟩ ἀοιδὰ Σειρήνων [δυνατάς]
580 *ὁλκαῖς· δυνάμεσι vg[ολο11]AS[13]. τόνοις AS[13]
D 581 ὁλκεῖς· οἳ τὰ ἀμφίβληστρα ἐπισπῶνται
582 ὁλκή· δύναμις v[ολο21]g[ολλ9]Br[74](AS[5]Σ). ῥοπή. ἰσχύς. ⌊βάρος (Σ). ῥυτήρ, [ἢ ῥυή] ⌊σταθμός g[ολλ9](AS[9]Σ)
583 *ὁλκῇ μιᾷ· τόνῳ. δυνάμει AS[10]
584 ὁλκῇ μιῇ· τὸ αὐτό
LXX? 585 ὁλκεῖον· μέγας κρατήρ. λουτήρ (Iudith 15, 11?)

---

562 St. Byz. 489, 14 (ο 43) **579** πλοῖον cf. Σ ο 109; – φορτηγός Schol. Pind. Nem. 5, 4a **582** δύναμις .. βάρος .. σταθμός cf. Σ ο 110

---

561 ὀλίζυνται H: Alb. **562** ὀλιζῶν H: accent. Alb., conf. ὀλίζων et ὀλιζών **563** ὀλικὰς H: Salm. Sop. Guyet. al. **566** ὠλέναι agn. G. Dind. | κριθεῖς H: Schr. | δεσμοὶ καὶ λῖνος H: La. **567** h. e. ἐλινύει La., coll. gl. ε 2095 et ο 1731 | ὀλίγει? H: Schm. **568** ἑτοιμοκόλλιξ H: La. **574** ὄλιος H: La.; cf. gl. 519 | ἕλιος H: Scal. **576** ὁλκάδεσι H: Mein. (teste La.) **577** χαλινάγγει H: Mus. **578** ὀλκαῖον (et sic spir. len. usque ad gl. 591) H: spir. Alb. | 'λακανη] de vulgarismo cf. Schol. Ar. Av.1143 et gl. λ 7' La. **579** cont. H: nov. gl. Mus. | πλοία H: Mus. | καὶ π. Ἀλκμ. add. K[p], ὁλκάς add. La. | ἀηδὼν εἰρήνη H, ἀείδων καὶ σαγήνη K[p]: La.; ἀηδών, Σειρήν Voss | δυνατάς del. La., e gl. 575; def. Nannini 1973–4, 248–9, ref. ad adiect. ὁλκός **582** incl. del. Alb.; ἢ ῥυτή Pears. 531 **584** ὀλκήμιο[η]? H: La., '583/84 olim una gl. cuius le. fuit 584' **585** ὄλκιον H: Schm.

586 ὁλκοί· λύκοι. καὶ οἱ τῶν ὄφεων συρμοί, καὶ αἱ μηχαναί, δι᾿ ὧν αἱ νῆες νεωλκοῦνται D
587 *ὁλκόν· [ὁλκάς.] τὸν ἕλκοντα πλοῖον A[7]
588 ὁλκός· ὁδός v[ολο12] (Σ). ἰσχυρός (vg[1]AS[4]Σ). ῥυμός. συρμός. ˌτόνος (g[1]Σ). βάρος
589 ὁλκότης· τὰ αὐτά
590 *ὁλκούς· ναυστάθμους g[ολο18]AS[8]Σ. τὰς ἕλξεις τῶν πλοίων (Eur. Rhes. 673) AS[8] Eur.
591 *ὁλκῶν· ἐφέλκων A[11]. καὶ τὰ ἑξῆς
592 *ὀλλύει· ἀπολλύει. φονεύει vg[1]AS[11]Br[116]
593 Ὄλμιον· ὄρος Ἐφέσου D
594 Ὀλμειός· ποταμός (Hes. th. 6) D
595 ὅλμος· περιφερὴς λίθος, μάρμαρος, ἐν ᾧ τὰς βοτάνας τρίβουσι. καὶ ποτηρίου εἶδος, καὶ τὸ ὑπὸ ταῖς ὑπογλουτίσιν ἑκατέρωθεν κοῖλον. καὶ κύλινδρος D
596 ὁλοβολάδες· θῖνες D
597 ὁλόζινον· ὀζῶδες. συμπεφυκώς D
598 †ὁλοεῖται· ὑγιαίνει D
599 ὁλοθούριον· εἶδος θαλάττιον D
600 ὀλόεργος· κακοῦργος D
601 ὀλοή· ὀλεθρία (Φ 83) Hom.
602 ὀλοίης· ἀποθάνοις
603 ὀλοιῇσιν· ὀλεθρίαις (Α 342) [ἀπώλειας] Hom.
604 ὄλοισθε· ἀπόλοισθε (Eur. Med. 113) Eur.
605 ὄλυσος· ὁ ἀπολλύς D
606 *ὁλοκαρπούμενον· ὅλον προσφερόμενον (4. Macc. 18, 11) vg[7] AS[28]Br[128]Σ LXX
607 *ὁλοκαύτωμα· ὅλον πυρὶ καθαγιζόμενον, ὁλόκληρον (Exod. 29, 18 ..) AS[36] LXX
608 ὅλοκες· αὔλακες D

---

588 cf. ὁδὸς ἰσχυρός .. τόνος Σ ο 113 **590** Σ ο 116; cf. Schol. Eur. | **594** Schol.[A] Cyr. **595** ποτηρίου εἶδος Athen. 11, 494b **599** cf Arist. h. an. 487b15 **603** Schol. **606** Σ ο 117

---

586 ὀφέων H: accent. Mus. | αἱ (ι corr. ex ει) H | νεολκοῦνται H: Mus. | cf. Wil. Plat. 2, 91 **587** spat.λκον H: nov. gl. et ὁ inser. Mus. | incl. non huc pert. vid. Alb. **588** ῥύμος H: accent. Mus. | τόπος H: Pears. 531. Alb. = (ΚΣ) **590** ἕξεις H (K[S]): Mus. = K[A] **592** ἀπολύει H: Mus. **594** ὄλμιος H: Mus. = Schol.[A] **595** βάρβαρυς H: Heins. | ὑπογλούτησιν H: Mus. **597** ὁλόγινον H: La., ‘totum ramis instructum’ | ὀζῶνες H: Guyet. Voss. | cf. gl. 625 **598** ολοτονειται La. coll ευτονος sim. **602** ἀποθάνῃς H: Mus. **603** ὀλοίησιν H: accent. Mus. | ὀλεθρίας H: Mus. = Schol. **604** ὄλλυσθαι H: Voss. | ἀπόλλυσθαι H: Schm. **605** ὄλοισος H: La. (‘ολυσος : ολλυω = μεθυσος : μεθυω’) | ἀπόλλυς H: accent. Mus. **607** καθαγιαζόμενον H (K): Sop. **608** ὀλοκεὺς H: Mus. | cf. Solms. Unters. 260

609 *ὁλόκληρον· σῶον (AS[39])

D **610** ὁλόκνημοι· ὁλομελεῖς (Pherecr. fr. 113, 13 K.–A.)

611 ὁλοκληρία· ἕνωσις

612 ὀλολυγή· ποιὰ φωνὴ AS[40] λυπηρά, ὀδύνην καρδίας ἀσήμῳ τινὶ φθόγγῳ παριστῶσα

Hom. + D **613** ὀλολυγή· φωνὴ γυναικῶν, ἣν ποιοῦνται ἐν τοῖς ἱεροῖς εὐχόμεναι (Ζ 301). καὶ ἄνθος τι παρὰ λίμναις γινόμενον

D? **614** ὀλολυγών· ζωύφιον γινόμενον ἐν ὕδασιν, ὅμοιον ἐντέρῳ. καὶ τοὺς εὐήθεις δὲ οὕτως ἔλεγον

LXX **615** ὀλολυγμός· θρῆνος vg[9]AS[34]Br[130], κλαυθμός (Esai. 15, 8)

616 ὅλον οὐσιοῦται· ὅλον ἑνοῦται

Hom. **617** ὀλοοῖο· δεινοῦ (Γ 133). ἢ †ἀγαθοῦ

D **618** ὀλοοίτροπα· παρὰ Ῥοδίοις ὀπτὰ πλάσματα εἰς θυσίαν

Eur.? **619** ὀλόμενον· δεινόν (Eur. Phoen. 1295?)

Hom.+Ap. S. **620** ὀλοοίτροχος· *ὀλίγα τρέχων AS[35]. ἢ κυκλοτερής, στρογγύλος S[35] λίθος. ἢ ὁλότροχος, ἐπεὶ στρογγύλος, καὶ παντὶ μέρει ἐφαπτόμενος τῆς γῆς. ὁ γὰρ τετράγωνος ἑνὶ μέρει ἐφάπτεται (Ν 137)

Hom. **621** ὀλοόν· κακόν, [κακόν,] χαλεπόν, *ὀλέθριον (Ξ 139) g[22](A[38]). ἢ ἀγαθόν

Hom. **622** Ὀλοοσσών· πόλις Θεσσαλίας (Β 739)

Hom. **623** *ὀλοόφρονος· ὀλέθρια φρονοῦντος AS[32](Br[415]), κακόφρονος, δεινοῦ (α 52) AS[32]

D **624** ὀλόπτειν· λεπίζειν, τίλλειν, κολάπτειν

D **625** †ὀλόπτυον· συμπεφυκότα

D **626** ὀλός· τὸ μέλαν τῆς σηπίας

D **627** ὀλοσπάδες· ὅλαι κατασπώμεναι, καὶ καταπινόμεναι (Soph. fr. 1076 R.)

628 ὁλοστός· ὅλος Br[329] ὥς ἐστιν

Att. **629** ὁλόσφυροι· ὁλοσφύρατοι

---

610 cf. Poll. 2, 191 (cit. com.) **613** Schol.| **614** cf. Schol. Arat. 948 **620** cf. Ap. S. 120, 11; στρογγύλος λίθος Schol.; Ph ο 247 **621** ὀλέθριον Schol. **623** – φρονοῦντος Ap. S. 120, 16; cf. Schol. Ο 630 **626** Theogn. can. 338 (C. 62, 27); cf. Phryn. praep. soph. 19, 2 **627** Ph ο 241 (cit. Soph.) **629** cf. Ph ο 242; Phryn. ecl.175

---

609 spat.λόκληρον H: nov. gl. et ὁ inser. Mus. **613** λειμν[αις] (acc. dub.; sscr. H?) H: Mus. **614** ὀλολύγον H: Schr. = Schol. Arat. | εὐηθεῖς H: accent. Mus. **617** ὀλόοιο H: accent. Mus. **618** 'volvendo cocta, sed malim ολοιτροπα' La. | ἑπταπλάσματα H: Wil.* **620** 'K ex expl. Comani [ap. Ap. S.] ολος τρεχων corrupt.' La. | λότρεχος H: Mus. | ἐπιστρογγύλος H: Schm. = Ap. S. | ἐν μέρει H: Schm. = Ap. S. **621** 'αγαθον e Cleanthis explicatione τα των ολων φρονουντος Schol.[H] α 52 ortum' La. **622** ὀλόοσον H: accent. Mus., em. Alb. **624** ὀλοπτεῖν H: accent. Alb. **625** 'ολοπυκνον? sed cf. gl. 597' La. | συμφεφυκότα H: ed. 1521 **626** ὅλος H: accent. Alb. = Theogn. | σηπυίας H: Mus. = testt. **627** ὀλοσπαδεῖς H: Schm. = Ph | κατατεινόμεναι H: Schm. = Ph

630 *ὁλοσχερής· διόλου, διαμπάξ AS[33]. τέλειος A[33], ὁλόκληρος AS[33]. δυσχερής. ἐξ ὁλοκλήρου

631 *ὁλοσχερῶς· τελείως (1. Esdr. 6, 27) v[2]g[3]AS[24]Br[124](?Σ) LXX

632 ὁλόσχοινος· ὀξύσχοινος D

633 ὁλότροχος· περιφερὴς λίθος D

634 ὀλουρίδας· εἶδος κόγχης D

635 ὀλούροισιν· ἄνω τῆς θύρας στρόφιγγες D

636 ὀλουφεῖν· τίλλειν D

637 *ὀλοφυγγόνα· φλυκτὶς (g[4]) ἐπὶ τῆς γλώττης (Theocr. 9, 30 v. l.) D

638 ὀλοφυδνόν· ὀλοφυρτικόν. λυπηρόν, *θρηνητικόν AS[31], ὀδυρτικόν (Ε 683) vg[13]A[31] Hom.

639 ὀλοφυκτίς· τὴν φλύκταιναν. οὐκ εὖ· ἐπὶ γὰρ τῶν δυναμένων φύεσθαί τι. ἐπινυκτίδα, ἢ δοθιῆνα (Hippocr. mul. 2, 206 [8, 400, 14 L.]?) D

640 *ὀλοφύρεται· ὀδύρεται, κλαίει vg[6]AS[27]Br[127]Σ, θρηνεῖ vg[6]AS[27], κοπετεῖ (Θ 202 ..) Hom.

641 ὀλόφυς· οἶκτος, ἔλεος, θρῆνος (Sapph. fr. 21, 3 V.) D

642 ὀλοφώϊα· ὀλέθρια, οἷον ὀλοποιά, δεινὰ βουλεύματα (δ 410. 460) Hom.

643 ὀλοφώϊος· πολύπειρος, πολύφρων. πανοῦργος, πονηρός

644 ὀλόφωνος· ὁ ἀλεκτρυών (Br[401])· ἢ ἀπὸ τοῦ λόφου, ἢ ἀπὸ τοῦ ἐν τῷ ᾄδειν ὅλον αἵρεσθαι καὶ μετεωρίζεσθαι (Cratin. fr. 279 K.–A.) D

645 *ὀλοώτερος· ὀλέθρου αἰτιώτερος (Γ 365) (vg[15]A[30]Br[2]) Hom.

646 ὀλπα· ἡ ἐλπίς. καὶ χόνδρου τις ἕψησις. λήκυθος. ἔδεσμά τι. ἢ ὄλβος D?

647 ὄλπις· οἰνοχόη (Sapph. fr. 141, 3 V.) D

648 ὀλλύει· φθείρει D

649 †ὀλυμπία· δοκός

650 Ὀλύμπια δώματ᾽ ἔχοντες· οἱ τὸν Ὄλυμπον κατοικοῦντες θεοί, ὅ ἐστιν ὄρος ἐν Μακεδονίᾳ, καὶ οὐρανός (Α 18) Hom.

---

631 cf. Σ ο 119 **632** cf. Diosc. mat. med. 4, 52, 1; Schol. Aeschin. 2, 21 (45) **633** cf. Ap. S. 120, 13 **636** Ph ο 248 **637** cf. Ph ο 249; Schol. Theocr. f **638** – ὀλοφυρτικόν Ap. S. 120, 10; θρηνητικόν E. Gen. 225 Mill. (EM 622, 31) **639** cf. Ph ο 249–50; Erot. ο 38; Poll. 2, 110 **640** – κλαίει cf. Σ ο 120 **642** cf. Ap. S. 120, 8; ὀλέθρια Schol. **650** Schol.

---

630 ὁλοσφερὴς H: Mus. = K | ὡλόκληρος H: Mus. **631** ὀλοσχερῶς H: spir. Mus. **633** ὁλοίτροχος malit La. **634–5** ‘ad ϝελυω cf. gl. γ 794’ La. **637** ὀλοφυγδόνα Heins. = K (cf. Theocr.) **638** ὀλόφυδνον H: spir. et accent. Mus. | ὀδυρητικόν H: Mus. = K | v. l.: gl. 136 **639** φλυκταίναν H: accent. Mus. | ἐπὶ] ἥ (?) H: Mus. | ἐπιφλυκτίδα H: Schm. = Ph | δοθηναι (acc. dub.) H: Mus. = Ph **642** ὀλεθρία H: accent. Mus. | ὀλοποία H: accent. Mus. **644** ἢ alt. ? e corr. H **645** expl. ολεθριωτερος K **646** ὄλπα H; ‘ελπις est ολπά; χονδρου εψησις, εδεσμα ad gl. δ 2171/72 spectare videntur’ La. | ἔφεσις H: L. Dind. 5, 1917B | λ̣ κυθος H: Mus. | ἐδέσματι H: Mus. **648** cont. H: nov. gl. Mus. | ὀλύει H: Mus. **649** v. l. gl. ε 2237

651 Ὀλύμπια· ὁ Ἀθήνησιν ἀγών

652 Ὀλύμπιον· τοῦτο ἀτελὲς ἔμεινεν Ἀθήνησιν οἰκοδομούμενον, πολλάκις ἀρχὰς λαβὸν τῆς κατασκευῆς

653 *Ὀλυμπιονίκης· στεφανισθεὶς AS^{10}(vg^{1}Br^{133}) εἰς Ὀλυμπίαν AS^{10}

654 *Ὀλύμπιος· οὐράνιος vg^{2}AS^{13}Br^{134}

D **655** Ὀλυμπίου πνοαί· Ὀλυμπίας ἄνεμός ἐστιν ὁ ἀπὸ τοῦ Ὀλύμπου πνέων Ζέφυρος

656 *Ὄλυμπος· οὐρανός vg^{3}Br^{135}Σ(A^{14}), θεοῦ οἰκητήριον vg^{3}Br^{135}Σ. καὶ ὄρος ἐν Μακεδονίᾳ vg^{3}AS^{14}Br^{135}Σ

D **657** Ὀλύμπου νόμος· τῶν αὐλητικῶν τις (Ar. Equ. 9)

D **658** ὄλυνθος· τὸ μὴ πεπαμμένον σῦκον

D **659** ὄλυνος· τὸ ἀπότριμμα, καὶ ἀποκάθαρμα

K + LXX **660** ὄλυρα· *εἶδος σπέρματος g^{5}AS^{8}Σ, ἢ βρῶμά τι μεταξὺ σίτου καὶ κριθῆς AS^{15}. οἱ δὲ αὐτὴν τὴν ⸤κριθήν (AS^{9}). ἄλλοι καρπόν τίνα σιτικόν. *ζειάν (vg^{5}A^{11}Br^{132}Σ) [τινὲς ζέαν] (Ezech. 4, 9)

Eur. **661** ὄλλυται· ἀπόλλυται (Eur. Med. 1066)

D **662** ὄλχον· ἐνέδραν

Eur. **663** *ὀλώλαμεν· ἀπολώλαμεν (vg^{ολυ4}A^{1}Σ), ἀπεθάνομεν (Eur. Rhes. 761 ..) vg^{ολυ4}AS^{1}Br^{136}

Hom. **664** ὀλώλῃ· ἀπόληται (Δ 164 ..)

Hom. **665** ὄλωνται· ἀπόλωνται (Θ 34)

666 *ὅλως· παντελῶς AS^{2} [ἢ ἄρα ὁμοῦ]

D **667** ὁμᾶ· ὁμοῦ ⟨ἢ ἅμα⟩

D **668** ὁμαδεύειν· ἀθροίζειν

669 ὅμαδος· ἄθροισις. *θόρυβος vg^{1}AS^{12}Br^{77}Σ. ὄχλος. τάραχος. στρατός. ⸤ἀπὸ τοῦ ὁμοῦ ⟨αὐδᾶν⟩ g^{1}Σ

670 *ὅμαιμοι· ἀδελφοί (vg^{3}AS^{8}Br^{137}Σ), συγγενεῖς (g^{3}Σ), ὁμόαιμοι (vg^{3}A^{13}S^{8})

671 *ὁμαιχμίη· συμμαχία (Hdt. 7, 145, 2) AS^{16}. [καὶ ὁμαίθρα] καὶ ὁμαιχμία Σ

D **672** ὅμαιχμοι· σύμμαχοι (Thuc. 3, 58, 4)

D **673** ὁμαλεῖς· ὁμοῦ ⟨ὄντες⟩

---

656 Σ ο 122; ὄρος – Ap. S. 120, 9 **660** εἶδος σπέρματος .. ζειά cf. Σ ο 123; ζειά gl. Proph. **663** cf. Σ ο 124 | **669** θόρυβος Schol. B 96 al.; θόρυβος et ἀπὸ – Ap. S. 120, 18; Σ ο 126; Schol. Plat. rep. 364e **670** cf. Σ ο 127 **671** Σ ο 128

---

651 ἄγων H: accent. Mus. **652** λαβὼν H: Mus. **653** ὀλυμπιονύκης H: Mus. | στέφανος H: La. = K^{AS}; στεφανωθείς K^{vgBr} **655** ὀλύμπιος ἄνεμος H: Schm. coll. Theophr. vent. 62 Plin. n. h. 2, 120 **658** cont. H: nov. gl. Mus. | σύκον H: accent. La. **662** ἔνεδραν H: accent. Schm. **663** ἀπεθάναμεν H: Mus. = K **665** ὄλλονται· ἀπόλλονται H: Mus. **667** trsp. e gl. 666 et em. Schm. | v. l.: gl. 694 **669** add. Wendel 1934, 344 = K testt. **671** ὁμαίχμη H: Alb. = (Σ) | ὁμαιθρεία (?) H: Mus. **673** ὁμαλ.῀ (εῖς ?) H: Schm.; ὀμαλῆ Mus. | add. La.

674 *ὁμαλόν· *λεῖον. ἴσον AS^{11}, ἰσόπεδον. εὐχερές
675 *ὁμάρξασθαι· ἐκμάξασθαι (v)g^{6}AS^{17}. ὁμοιωθῆναι g^{6}AS^{17}
676 ὁμαρές· ὁμοῦ. συμφώνως D
677 ὄμαρξον· ἀπόμαξον AS^{10}(vg^{ομο24})
678 ὁμαρτῇ· ὁμοῦ (Eur. Hec. 839) Eur.
679 ὄμβρον· βροχήν, ὑετόν
680 ὁμαρτεῖν· συντυχεῖν v^{4}AS^{14}. ἐπακολουθεῖν (v^{4}A^{14}; g^{5}Br^{138}). συναθροίζειν
681 ὅμαυλον· ὁμόκοιτον v^{ομη4}, σύγκοιτον Z. ὁμοῦ αὐλιζόμενον v^{ομη4} A^{ομι15}. Σοφοκλῆς Φινεῖ (fr. 719 R.) Z D
682 ὄμβρος· [χοιρίδιον. ἢ] ὑετός
683 ὀμβρεῖ· ἀτιμάζει, ἀκολουθεῖ. ὑπερισχύει. αὔξει. πιαίνει. πλήθει D?
684 †ὁμειλαδόν· μετατᾶγμα καὶ ἄθροισμα
685 ὁμιλήσωσι· συμβάλωσιν (Τ 158) Hom.
686 †ὅμειλος· συστροφή. ἀπὸ τοῦ ὁμοείλας εἶναι, καὶ πλῆθος ὄχλου
687 ὁμειρόμενοι· 〈ἐπιθυμοῦντες〉 (1. Ep. Thess. 2, 8) N. T.
688 *ὁμείρονται· ἐπιθυμοῦσιν (Iob 3, 21) vg^{4}AS^{7}Br^{141}Σ LXX
689 ὀμεῖται· ὀμνύει (Ι 274) Hom.
690 *[ὅμερρος· τυφλός v^{ομο15}]
691 ὁμέστιοι· σύνοικοι
692 ὁμέστιον· σύνοικον
693 *ὁμέστιος· ὁμόοικος (Greg. Naz. c. 2, 1, 32, 3 [37, 1301, 1 M.]?) vg^{3} Br^{139}(AS^{5}Σ) Greg. Naz.?
694 [ὁμᾶ· ὅπερ ὠμοῦ]
695 *ὁμευνέτου· συγκοίτου g^{2}AS^{6}Σ, ὁμολέκτρου (Eur. Med. 953) Eur.
696 *ὁμή· ὁμοία (Ψ 91) AS^{22}. ἢ ⌊ὀμνύεις vg^{11}A^{24}S^{22}Br^{145}
697 *ὁμηγερέες· ὁμοῦ ἀθροισθέντες (Α 57) AS^{25}(Br^{331}) Hom.
698 *ὁμηγερέεσσιν· ὁμοῦ πᾶσιν (Ο 84) A^{20} Hom.
699 ὁμήγοροι· ἰσήγοροι, ἐν ταὐτῷ συνήγοροι D
700 *ὁμηγύρειν· τὸ συνάξαι AS^{16}
701 *ὁμηγύρεως· συνόδου, συναθροισμοῦ v^{2}AS^{12}Br^{142}(g^{3})

---

680 – συντυχεῖν Ap. S. 120, 19; ἐπακολουθεῖν cf. Σ ο 129 **681** ὁμόκοιτον Ph ο 266 **687** gl. Apost. 190 **688** Σ ο 132 **693** cf. Σ ο 133 **695** Σ ο 134 | **696** Schol. |

---

675 ὁμάξασθαι H: Alb. = K **679** cont. H: nov. gl. Mus. | βροχ (term. et accent. del. Mus.) H: La. **682** 'ad οβριον (nasali parasitica ομβριον scriptum? cf. servorum nomen Ομ(β)ριας) La. **683** ἀκολουθεῖ ad ὁμήρει pert. vid. Alb.; ἀτιμάζει, ὑπερισχύει quo pertineant inc. (La.) **684** ὁμειλάδον H: accent. Mus. | v. l. gl. 723 (Mus.) **686** v. l. gl. 730 (Mus.) **687** add. Heins. = gl. Apost. 190 **688** cont. H: nov. gl. Heins. **690** v. l. gl. 720 **693** ὁμέστικος H: Palm. Heins. Voss. al. = K(Σ) **694** ὅπερ del. Mus. | v. l. gl. 667 (Mus.); ὃ μεῦ· ὅπερ ἐμοῦ Schm. **695** ὁμευνήτου H: Schm. = KΣ **696** | ad ὁμῇ (Heins.) **697** ὁμηγέρεες H: accent. Mus. **699** ὁμηγόροι H: accent. La. | ἰσιγόροι H: Mus. **700** ὁμηγυρεῖν Leum. **701** συναθροισμένου H: Mus. = K

702 *ὁμήγυρις· πλῆθος vg^{3}AS^{15}(Σ), ὄχλος, συναγωγή, ⌊συνέλευσις g^{3}

Hom. **703** ὁμηγυρίσασθαι· ὁμοῦ συναγαγεῖν πολλούς (π 376)

704 *ὁμήθεα· συνήθη g^{8}AS^{27}

Hom. **705** ὁμιλεῖ· πολεμεῖ AS^{ομη21}. συμμαχεῖ (Ε 834)

Hom. **706** *ὁμηλικίη· τῆς αὐτῆς ἡλικίας, συνῆλιξ (γ 49) (vg^{9}AS^{23})

Hom. **707** ὁμήν· ὁμοίαν. τὴν αὐτήν (Ω 57)

Hom. **708** ὁ μήνιεν· ὠργίζετο (Α 488)

Hom. **709** *ὁμὴ νῶϊ· ἡ αὐτὴ ἡμᾶς τοὺς δύο (Ψ 91) A^{19}

LXX **710** ὅμηρα· τὰ ἐπὶ συμβιβάσει διδόμενα ἐνέχυρα (1. Macc. 9, 53 ..)

711 *ὁμηρεύειν· συμφωνεῖν AS^{13}Br^{23}Σ

712 ὁμηρεῦσαι· τὸ συμβολῆσαι. ὁμοφωνοῦσαι, ὁμοῦ λέγουσαι (Hes. th. 39)

713 ὁμηρεῖν· ὁμοῦ ἡρμόσθαι. καὶ συμφωνεῖν

D **714** ὁμηρεῖ· ἐγγυᾶται. ἀκολουθεῖ

715 Ὁμηρίδαι· οἱ ῥαψῳδοί

D **716** ὁμηρέταις· ὁμοψήφοις, ὁμογνώμοσιν

717 †ὁμηρητῆρες· ἀκόλουθοι, συνήγοροι

D **718** ὁμηρίδδειν· ψεύδεσθαι (com. ad. 398 K.–A.)

719 *ὅμηροι· οἱ ἕνεκεν εἰρήνης διδόμενοι, ἐνεχυραζόμενοι v^{6}A^{14}

720 ὅμηρος· ὁ τυφλός S^{28}. καὶ ὁ ἐνέχυραζόμενος

721 †ὁμηνήν· τροφήν

722 *ὁ Μίδας· βασιλεὺς Φρυγῶν g^{4}A^{8} πλούσιος g^{4}AS^{8}

Hom. **723** ὁμιλαδόν· ἐν συστροφῇ καὶ τάξει μάχεσθαι, κατὰ τάγμα καὶ ἄθροισμα (Μ 3)

724 *ὁμιλεῖ· συναναστρέφεται vg^{1}AS^{7}Br^{146}Σ. μάχεται

Hom. **725** ⟨ὁμιλεῖν·⟩ ἐπακολουθῆσαι νεκρῷ (Π 641). ἀναστρέφεσθαι. λαλεῖν. τίθεται δὲ καὶ ἀντὶ φιλίας, καὶ διαλέξεως

Hom. **726** *ὁμιλέομεν· διαλεγόμεθα (Λ 523?) AS^{13}

---

702 πλῆθος cf. Σ ο 135 **703** – συναγαγεῖν Ap. S. 120, 23; συναγαγεῖν Schol. **707** Ap. S. 120, 22; ὁμοίαν Schol. 708 Schol. **711** Σ ο 136 **712** ὁμοφωνοῦσαι – cf. Schol. Hes. **713** Ph ο 269 | **714** | cf. Harp. 222, 7 **716** Ph ο 274 **719** cf. Σ ο 137 **723** ἐν συστροφῇ cf. Schol.; – μάχεσθαι Ap. S. 120, 20; κατὰ – cf. Σ ο 138 **724** Σ ο 139 |

---

702 ἀναγωγὴ H: Meibom. **706** ὁμο(?)λικίη H: Mus. | συνήλιξ H: **708** ὃ Mus.; om. Schol. **709** ὁμείνωι H: Mus. | ἥ sscr. H **712** infin. et partic. coniung. agn. Alb. **713** εἱρμόσθ( ) H: ἡρμ- Jens. Luc.Hes. 171 = Ph, -σθαι Mus. **714** ὁμήρει H: accent. Schm. | Achaeorum (Harp. codd.); cf. Schulze QE 500, 1 **715** ὁμηρειδαί H: Mus. | αἱ ῥαψῳδίαι H: Sop. Heins. **716** ὁμῆρέτοις H: Alb.; ὁμηρίταις Ph | ὁμοψόφοις H: Meibom. Pears. 533 = Ph | ὁμογνωμῶ(?)σιν H: Mus. = Ph **717** ὁμαρτητῆρες agn. HSt. Ind. **718** ὁμηριάδειν H: Hemsterh.; ‘comici απαιδευσιαν nesciocuius Boeoti irridentis’ La. **719** ενεχυροι K **720** v. l.: gl. 690 **721** v. l. gl. 826 (Salm. Heins.) **723** v. l.: gl. 684 **725** cont. H: nov. gl. et le. suppl. Biel. Jens. Luc. Hes. 171 | λαλεῖ H: Mus.

727 ὁμιλήσειε· συναναστραφῇ (α 265). ἢ ἐμαχέσατο, καὶ συνέβαλε πρὸς μάχην Hom.
728 ὁμιλία· διήγησις. ὅμιλος
729 ὁμιλίαι χθονός· ἀντὶ τοῦ φιλίαι, ἔρωτι τῆς πατρίδος, καὶ ἀντὶ τοῦ πάλῃ. περὶ γὰρ τὴν πάλην ἐσπούδασαν οἱ Θηβαῖοι (Eur. Phoen. 1408) Eur.
730 ὅμιλος· *ἄθροισμα. ὄχλος A[12]Σ(vg[2]AS[10]Br[147]). θόρυβος (AS[10]). δῆμος, ιπλῆθος A[12]Σ(vg[2]AS[10]Br[147]). [μάχη.] σύνοδος. μάχη. ἀπὸ τοῦ ὁμοῦ εἰλεῖσθαι κατ᾽ αὐτὸν ὄχλον (Γ 36) K + Ap. S.
731 ὅ μιν· ὅτι αὐτόν S[16] Hom.
732 *ὀμιχεῖν· οὐρεῖν (Hes. op. 727) (v[3]Br[368])
733 ὀμίχλη ἢ ὀμίχλα· ἀὴρ παχύς, σκοτεινός, ἀχλύς [σκοτεινός] ὑδατώδης, σκοτία (Α 359) Hom.
734 ὀμίχματα· οὐρήματα (Aesch. fr. 435 R.) D
735 ὀμματ⟨οστερ⟩εῖς· πηρούς. ἢ βλάπτεσθαι D
736 ὀμμάτειος πόθος· διὰ τὸ ἐκ τοῦ ὁρᾶν ἁλίσκεσθαι ἔρωτι· 'ἐκ τοῦ γὰρ ἐσορᾶν γίνεται ἀνθρώποις ἐρᾶν' (Sthenel. TrGF 32 F 1. Agath. TrGF 39 F 29). καὶ ἐν Ἀχιλλέως ἐρασταῖς (Soph. fr. 157 R.)· 'ὀμμάτων ἄπο λόγχας ἵησιν' D
737 *ὁμοαιχμία· ὁμομαχία g[20]AS[51]
738 †ὁμοβόρος· ὁμοφάγος
739 ὁμόβωμοι θεοί· ἐν Ἐλευσῖνι Δήμητρος καὶ Κόρης εἰσίν ...
740 ὁμογάλακτες· οἱ ἐκ τοῦ αὐτοῦ γένους, ἢ ἀδελφοί D
741 *ὁμογάστριος· ἐκ τῆς αὐτῆς γαστρός (Φ 95) AS[61]
742 *ὁμογενῶν· συγγενῶν vg[2]AS[30]
743 ὁμόγνια· ... ἢ γνήσια
744 ὁμοδάλιον· ἰσοετῆ
745 *ὁμοδίαιτος· ὁμότροφος (AS[54]). ὁμοτράπεζος A[36]Br[447]Σ(vg[3]S[54]), σύνοικος

---

727 συναναστραφῇ Schol. **729** cf. Schol. Eur. **730** – ὄχλος .. πλῆθος Σ ο 140; μάχη – Ap. S. 120, 20 **732** Schol. Hes. **733** – παχύς Schol.; Σ ο 141; ἀχλύς et σκοτία Ap. S. 120, 24 **734** Ph ο 263 (cit. Aesch.) **740** Ph ο 294; cf. Harp. 79, 2; Poll. 3, 52. 8, 111 **741** Schol. **743** Σ ο 142 **745** ὁμοτράπεζος Σ ο 143

---

727 συνανεστράφη H: Ald. = Schol. **729** χθόνος H: accent. Mus. | 'expl. altera futtilis' La. **730** εἰλεῖσθαι H: spir. Schm. | v. l.: gl. 686 **731** ὁ μὶν H: Mus. **732** ὀμίχλειν H: Palm. Sop. Heins. = Hes. **733** σκοτεινὸς alt. del. Mus. **735** ὀμματεῖς H: Schm., 'sed βλάπτεσθαι quid sit non exputo'; hoc ad ὀμματοστερεῖν ref. La. **736** trim. Agathonis vel Stheneli (Zenob. Ath. 2, 54); frustra Sophoclis Ellendt (La. 1941, 87) | ὀμματοπάλογχα H: Cas. Athen. 485 | φησίν H: Nauck TGF[1] 133 **738** v. l. gl. ω 195 (Pears. 533. Alb.) **739** ὁμοβώμιοι et ⟨κοινοὶ βωμοί⟩ Conom. 1969, 213 **742** cont. H: nov. gl. Pears. 533. Alb. **743** ὁμόγνουα H: Voss. Pears. 533 =Σ | 'suppl. e K[S53] ⟨συγγενη⟩' La.; ⟨ὁμογενῆ⟩ Voss. Pears. = Σ | ἤγνοια H: Voss. = Σ **744** ὁμοδάλιοι H: Schm. | ἰσοέτες H: La. ('scl. Meleager cuius vita δαλῷ coniuncta erat'); ἰσοετεῖς Mus.

Greg. Naz. **746** ὁμόδοξος· μιᾶς καὶ τῆς αὐτῆς δόξης (Greg. Naz. or. 6, 22 [35, 749C M.])

Eur. **747** *ὁμόδουλος· σύνδουλος (Eur. Hec. 60) vg[27]AS[59]Br[167]

748 *ὁμοερκής· ὁμότοιχος g[21]A[55]

749 *ὁμόζυγός· γαμετή vg[19]AS[50]Br[157]

750 ὁμοήγορον· ὅμοιον

Hom. **751** ὁμόθεν· ἐκ τοῦ αὐτοῦ τόπου· ἐξ ὁμόθεν πεφυκότες (ε 477)

LXX **752** ὁμοθυμαδόν· ὁμοῦ. ὁμοψύχως (Iob 2, 11)

753 *ὁμόθυμος· ὁμόφρων vg[8]AS[35]Br[150]Σ, ὁμόψυχος vg[8]Br[150]Σ

Hom. **754** *ὅ μοι· ὅτι μοι (A 120) v[23]

Hom. **755** ὅμοια· ἴσα· ‘ὁμοίῃ ἔνθεο τιμῇ’ (Δ 410)

Hom. **756** ὁμοίης· ὁμοίας. τῆς ἴσης (A 278)

Hom. **757** [ὁμοιΐου πτολεμοῖο· ἐν ᾧ ὅ … (N 358)]

Ap. S.? **758** ὁμοιΐου· τοῦ ὁμοῦ ἰέναι ποιοῦντος πτολεμοῖο. ἐν ᾧ ὅμοιος πᾶσι καὶ ἴσος ὁ κίνδυνος· ‘ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα ⟨κατέκτα⟩’ (Σ 309). ὁμοίως δέ φησι καὶ ‘ὁμοιΐου θανάτοιο’ (γ 236?). καί· ‘ἀλλά σε γῆρας τείρει ὁμοίϊον’ (Δ 315)

759 ὁμοιογενῆ· ὁμόφυλον, συγγενικόν

760 ὁμοιόπτεροι· ὁμοιότιμοι

761 ὅμοιος· ἐν ταὐτῷ συνεστώς

Eur. **762** *ὁμοιοῦσθαι· ἐξισοῦσθαι (Eur. Bacch. 1348) g[7]

Hom. **763** ὁμοιωθήμεναι· ἐξισωθῆναι (A 187). συμμιγῆναι

764 *ὁμοκλή· ἀπειλή, βοή AS[60]

765 ὁμοκλῆς· ὁμώνυμος. ἢ ἀπειλῆς

Hom. **766** *ὁμοκλήσας· [ὁμοῦ ἀπελθών.] ιἀπειλήσας AS[44]. βοήσας (E 439) (A[44]). στενάξας AS[44]

Hom. **767** ὁμοκλήσασκεν· [ἢ ὁμοκλεῖν.] ἐβόα (B 199)

768 ὁμοκλητῆρες· ἀπειλητῆρες

Hom. **769** ὁμοκλητῆρος· ἀπειλητῆρος. τοῦ παρακελευομένου (M 273)

---

746 cf. Poll. 6, 156 **747** Σ″ (Ph ο 287. Su ο 267) **748** Ph ο 296; cf. Poll. 6, 156 **751** cf. Ap. S. 120, 25; – τόπου Schol.; Ph ο 297 **752** | Σ ο 144; gl. Iob. **753** Σ ο 145 **754** Schol. **756** | Schol. **758** cf. Ap. S. 120, 29; Scholl. γ. Δ **763** ἐξισωθῆναι Ap. S. 120, 36; Schol. **764** ἀπειλή Ap. S. 120, 27 **766** ἀπειλήσας βοήσας Schol. **769** cf. Ap. S. 120, 27; Schol.

---

746 ‘gl. Christiana’ La. **751** ὅμοθεν bis H: accemt. Mus. **754** ὁ μοὶ H: Mus. **755** ὁμοίῃ nov. gl. H: cont. Arnald. Lect. Gr. 105 | ἔνθεος H: Arnald. **757** dittogr. gl. 758 del. Mus. **758** ὁμοῦ (ὁ ? e corr.) H | πτολεμοῖο H: accent. Mus. | ἶσος H: accent. Schm. | καὶ τεκτανέοντα H: Mus. = Schol. | ⟨κατέκτα⟩ Palm. Sop. Heins. al. = Schol. | γ 236 agn. Pears. 533. Alb. | ἄλλας ἀγείρας τηρεῖ H: Mus. = Ap.S. **760** ‘vix sanum, ὁμοιοπρεπεῖς? cf. gl. 782’ La. **763** ὁμοιωθημέναι H: accent. Mus. | ἐξισοθῆναι H: Mus. **764** ὁμοκλεῖ· ἀπειλεῖ, βοᾶ H: -ῇ ter Mus., -ή ter La. = K (Ap. S.) **765** ὁμοκλής et ὁμοκλῆς conf. agn. Alb. ὁμὼνυμος H: accent. Mus. **766** ὁμοκλὴς H: Mus. | incl. ad ὁμαρτήσας ret. La. **769** ὁμοκλήτηρος· ἀπειλήτηρος H: accent. bis Mus.

770 ὁμόκλητος· ὁ μιᾷ κλήσει καλούμενος μετὰ ἑτέρου D
771 ὁμολογῶ· †ζοφῶ
772 *ὁμολειῶν· ἰσάζων. καταλειαίνων AS[45]
773 *ὁμόλεκτρος· σύγκοιτος (Eur. Or. 508) (AS[42]) Eur.
774 ὁ μολοβρός· αἰσχρός, ἀναιδής. περίτριμμα
775 *ὁμολόγως· συμφώνως (Hos. 14, 5) vg[17]AS[46]Br[155] LXX
776 Ὁμολωΐδες· πύλαι ἐν Θήβαις (Eur. Phoen. 1119) Eur.
777 Ὁμολώιος Ζεύς· Θήβησιν οὕτω προσαγορεύεται ὁ Ζεύς D
778 ὁμόν· ἕν, ⌊τὸ αὐτὸ ὅμοιον g[ομφ5]· 'ἢ μὰν ἀμφοτέροισιν ὁμόν' (N 354) Hom.
779 ὁμοούσιον· τὸ ἐξ αὐτοῦ τοῦ ὑποκειμένου ὑπάρχον
780 ὁμοουσιότης· ταυτότης κατὰ τὸ ὑποκείμενον, καὶ τὸ ἀπαράλλακτον κατὰ τὴν οὐσίαν
781 ὁμόπαιδα κάσι⟨ν⟩ Κασσάνδρας· ὁμοῦ παιδευθέντα, ἢ ὁμοῦ τεκνωθέντα· ἐπειδὴ δίδυμοί εἰσιν (Lyr. ad. PMG fr. 110) D
782 ὁμόπτεροι· ὅμοιοι. ὁμότριχοι. ὁμόχρονοι, ἀδελφοὶ ἥλικες, ὁμοῦ ηὐξημένοι D
783 ὁμορβεῖν· ἀκολουθεῖν. ὁδοιπορεῖν D
784 ὀμόργνυ· ἀπέψα. ἀπέμασσεν (E 416) Hom.
785 ὁμορίτας· ἄρτος ἐκ πύρου διηττημένου γεγονώς D
786 ὀμόρξαι· ἀπομάξαι, ἀποψήσασθαι
787 ὀμόρξῃ· ἀποψήσῃ
788 *ὅμορος· πλησιόχωρος vg[4]AS[34]Br[149]Σ, γειτνιῶν vg[4]S[34]Br[149]
789 *ὁμοροῦσα· γειτνιῶσα A(S)[39]Σ. πλησιάζουσα (Ierem. 27, 40) LXX
790 ὁμορροθοῦντες· ὁμοφωνοῦντες, ὁμόηχοι
791 ὁμορροθεῖν· ὁμοῦ ἕλκειν, καὶ *συμφωνεῖν (Eur. Or. 530) (vg[16]A[41] Br[154]Σ) Eur.
792 ὁμόρροθα· ἀθρόα
793 [ὁμοροῦσα· γειτνιῶσα, πλησιάζουσα]
794 ὁμόροφος· ὁμοδίαιτος. *σύνοικος v[13](g[14]AS[62]Br[153])
795 *ὁμόρων· ἀστυγειτόνων (Thuc. 3, 92, 2) g[ομα7]AS[38] Att.

---

775 gl. Proph. **777** cf. Σ″ (Ph ο 298. Su ο 275) **781** cf. Poll. 3, 23 **782** ὁμότριχοι cf. Ph ο 299; Poll. 6, 156 (cit. Eur. El. 530) **784** Schol. **786** cf. Σ ο 148 **788** Σ ο 150 **789** cf. Σ ο 151 **791** | cf. Σ ο 152

---

771 ζόφω H: συμφωνῶ Mus., σύμφημι Erbse **772** ὁμολιῶν H (K): Alb. | καταλιαίνων H (K): Mus. **774** μόλοβρος H: accent. Mus. **776** ὁμολοειδεῖς H: ὁμολω- Heins. Sop. Pears. 534, -ΐδες Mus. **777** ὁμόλοος H: Pears. 534 = Σ″ **778** ἐν τῷ αὐτῷ H: Cor. | ἡμῖν H: Jens. Luc. Hes. 171 **781** ὁμόπαι δάκασι H: Mus. | κασάνδρας H: La. | παιδευθέντες H: Mus. **784** ἀπέμεσεν H: Sop. Salm. Pears. 534 = Schol. **785** ὁμόριτας H: accent. Mus. | διηρημένου H: Mein. Phil. exx. in Ath. 1, 11 **786** ἀποψηφίσασθαι H: HSt. Sop. Heins. al., cf. Σ **787** ἀπεψήσει H: ἀπο- Guyet., -σῃ Mus. **792** ὁμόρροσα H: La. | ἄθροια H: Perg. **793** cont. H: nov. gl. Mus. | del. ed. 1521, = gl. 789 **794** συνάοικος H: Mus. = K **795** ἀστυγειτῶν H: La. = K

Hom. **796** ὁμός· ὅμοιος, ὁ αὐτός (Δ 437)
797 *†ὅμοσαι· ὀμόσω. ὀμνύω A^{49}
Hom. **798** *ὄμοσσον· ὄμοσον A^{43} [ὀμνύω] (A 76)
Hom. **799** *ὁμόσε· εἰς τὸν αὐτὸν τόπον A^{33}S^{29}Σ· ‘τῶν πάντων ὁμόσε στόματα ἔτραπε’ (M 24)
D **800** ὁμοσίπυοι· ὁμοτράπεζοι
D **801** ὁμόσκευοι· τῷ αὐτῷ ὁπλισμῷ χρώμενοι (Thuc. 2, 96, 1 ..)
Eur. **802** ὁμόσε χωρεῖν· συνδραμεῖν (Eur. Or. 921))
D **803** ὁμόσιτοι· ὁμοτράπεζοι
Att. **804** *ὁμόσπονδος· φίλος (Dem. 18, 287) S^{65}Σ(A^{37}Br^{151})
Eur. **805** ὁμόσποροι· ἀδελφοί (Eur. Bacch. 1092)
D **806** ὁμόστιβοι· συμπράττοντες
Hom. **807** ὁμοστιχάει· ὁμοστιχεῖ. ὁμοῦ πορεύεται (O 635)
D **808** ὁμόστολοι· συμπράττοντες, [ἐν] τῇ αὐτῇ ὁδῷ κοινωνοῦντες
809 ὁμόσφυροι· συνοδοιπόροι
D **810** ὁμόσφυρος· ἀδελφή. τῆς δὲ τρίτης συλλαβῆς ἐκτεινομένης, δηλοῖ τὸν ὁμόχωρον. σφῦρα γὰρ τῆς σπορίμου γῆς τὸ μέτρον
D? **811** ὁμοτελεῖς· οἱ ἀπὸ τῶν αὐτῶν τιμημάτων
D **812** ὁμοταγεῖς· οἱ ἐν τῷ αὐτῷ τάγματι
813 *ὁμοτέρμων· ὅμορος, γείτων AS^{58}
814 ⟨ὁμότιμος·⟩ ὁμόδοξος. ἰσότιμος. ὅμοιος
Att. **815** ὁμοῦ· ἐγγύς. τοπικόν. ἢ ‘⟨ὁμοῦ⟩ ἄνδρες Ἀθηναῖοι δισμύριοι’ (Dem. 25, 51) [ὁμόφρονες]
Hom. **816** *ὀμοῦμαι· ὀμνύω (A 233) vg^{25}AS^{52}(Br^{159})
D **817** ὅμουρα· σεμίδαλις ἑφθή, μέλι ἔχουσα καὶ σησάμην
D **818** ὁμούρησιν· τὴν ὁμόρησιν [Ἀττικοί]
D **819** ὁμουροῦσι· γειτνιῶσιν ἐν τοῖς ὅροις (Hdt. 2, 33, 3 ..)
Att. **820** ὁμοῦ ᾿στιν· σχεδὸν ἐγγύς ἐστιν (Ar. Pac. 513)
821 ὁμοφροσύνη· προσηνία, πραότης
Att. **822** *ὁμοφυής· ὁμογενής (Plat. Phaed. 86b?) vg^{12}AS^{40}Br^{152}Σ

---

796 Schol. **798** Schol. **799** Σ ο 154; cf. Ap. S. 120, 25 **801** cf. Poll. 10, 14 (cit. Thuc.) **803** cf. Poll. 3, 61. 6, 8. 12 **804** Σ ο 156; cf. Poll. 3, 61 **807** Ap. S. 120, 35 | cf. Schol. **815** cf. lex. rhet. 285, 1; Schol. Plat. Phaed. 72c (52); Σ″ (Ph ο 317. Su ο 292) **822** Σ ο 158

---

797 ὀμόσαι H: accent. La. **798** ὀμόσαι corr. in ὄμοσον H: Alb. **799** στόματα H: Jens. Luc. Hes. 171 | ἔτραπτε H: Mus. **800** cont. H: nov. gl. Mus. | ὁμοσίπται H: Scal. Salm. Brun. al. **801** ὁπλισμένω H: Mus. **802** le. ὁμόσε H: Schr. **806** ὁμοστιβεῖς Suicer, Thes. Eccl. **808** ἐν del. Schr. **810** ὁμόχορον H: Mus. **814** le. ὁμόδοξος H: suppl. Vales. Valck. Misc. obs. 8, 2, 168 **815** ὁμοῦ e Dem. add. La. | ‘incl. glossema ad Dem., nisi ad alium usum vocis ὁμου spectat’ La. **817** ὁμούρα H: accent. Schm.; ‘ομωρος Siculis cf. Athen. 3, 110b’ La. | ἐφθὴ H: spir. Schr. | με, sscr. λ (acc. ?) H: Mus. | σεσάμην H: Mus. | gl. α 3750 cft. Conom. 1969, 213 **818** ‘vox Democritea cf. Epicur. ep. ad gl. Herod. 64’ La. | ὁμήρησιν H: La. | incl. ad gl. 815 ret. La. **819** ὄροις H: spir. ed.1521 **820** ᾿στιν H ? e corr.

823 ὄμπαι· θύματα. πυροὶ μέλιτι δεδευμένοι (Callim. fr. 681, 1 Pf.) D
824 †ὀμπάται· ὑβρίζει, προπηλακίζει
825 ὄμπια· παντοδαπὰ τρωγάλια D
826 ὄμπνη· τροφή, εὐδαιμονία D
827 *ὄμπνια· τὰ ζωτικά AS1Sοπν2(Aοπν1)
828 ὄμπνια· καρποφόρος, [τροφή.] ἄφθονος. ἀγαθή. νόστιμος. ἢ τὸ ἀναπνεῖν ἡμῖν διδοῦσα (Callim. fr. 1, 10 Pf.) D
829 ὀμπνίῃ δαιτί· ἀντὶ τοῦ πολλῇ D
830 ὀμπνίου νέφους· μεγάλου, πολλοῦ, ηὐξημένου (Soph. fr. 246 R.) D
831 ὄμπνιος λειμών· ὁ τῶν πυρίνων καὶ Δημητρίων καρπῶν· ἐπεὶ Ὄμπνια ἡ Δημήτηρ D
832 ὀμπνιόχειρ· πλουσιόχειρ. πλούσιος D
833 ὀμπνηρὸν ὕδωρ· τρόφιμον (SH ad. 1094) D
834 ὀμφά· ὀσμή. Λάκωνες D
835 ὄμφακες· πάντα τὰ αὐστηρὰ καὶ ὀξέα, ἤγουν ὄξινα D
836 ὀμφακίας· πάροξυς D
837 ὀμφαλητόμος· μαῖα (Hippon. fr. 19, 1 W. = 73, 1 Degani) D
838 Ὀμφαλίδαι· πατριά D
839 ὀμφαλιστήρ· ᾧ τοὺς ὀμφαλοὺς ἀποτέμνουσιν D
840 ὀμφαλόεσσα· ἡ Ἄρκτος· διὰ τὸ μέσον τὸν βόρειον πόλον περιέχειν. τινὲς δὲ τὴν εὔτροφον χωράν (Nic. al. 7). καὶ ἀσπίδες ὀμφαλόεσσαι· ἢ ὀμφαλοὺς ἔχουσαι, ἢ στρογγύλαι (Δ 448) D
841 ὀμφαλόεντα· ὀμφαλοὺς ἔχοντα ζυγόν. ὀμφαλοὺς δὲ λέγουσι τὰς ἐν τῷ ζυγῷ τρώγλας, ἐφ᾽ ὧν αἱ ἡνίαι δέδενται (Ω 269) Hom.
842 ὀμφαλός· ζυγοῦ τὸ μέσον (Ω 273). καὶ Δελφοί, ἐπειδὴ μεσαίτατοι Hom.
843 ὀμφαλὸς Αἰγαῖος· ζητεῖται πῶς τὴν Πυθὼ ὀμφαλὸν Αἰγαῖον ⟨εἴρηκε⟩· τινὲς δὲ παρὰ τὸ τῆς Αἰγαίων γῆς ⟨μέσον εἶναι⟩ D

---

823 cf. Ph ο 320; EM 625, 53; πυροὶ – Schol. Nic. Al. 450 (cit. Callim.); cf. lex. rhet. 287, 21 **830** – μεγάλου cf. Σ″ (Ph ο 321. Su ο 316) **831** cf. Σ″ (Ph ο 411. Su ο 306) **832** Ph ο 409; cf. Su ο 307. 303; πλούσιος Prov. Bodl. 704 **833** Σ″ (Ph ο 412. Su ο 304) **835** – αὐστηρά cf. Ph ο 324 **837** Eust. Il. 971, 37 (3, 591, 13 V.) **839** Ph ο 326 **840** – χώραν cf. Schol. Nic. a; ὀμφαλόεσσαι .. ἔχουσαι cf. Schol. **842** Schol.|

---

823 πυρὶ H: Kuhn ad Poll. 1, 28 = testt. **824** ὀμπᾶται H: accent. La., qui ci. ὀνοτάζει **825** τρωγάλια (ω ? e corr., vix ex α) H **826** v. l.: gl. 721 **828** ὀμπνία H: accent. Schm. **829** ὀμπνεῖ H: Voss. | πολλή H: Mus. **830** le. ὀμπνέου H: Scal. Salm. = Σ″ **831** le. ὄμπνειος H: HSt. Ind.; ὄπνιος Schm. = Σ″ | πυρ . νων H: Mus. | δημ . τίων H: ed. 1521 | καρπὸς H: Salm. Guyet. | ὀμπνία H: accent. Schm. = (Σ″) **832** ὀμπνειόχειρ H: Schm. **833** ὀπνιηρον Σ″ (‘i. e. ομπνιον cum v. l. ομπνηρον’ La.) **834** ‘cf. gl. 3160 et Lagercrantz KZ 35, 278 ’ La. **836** παρόξους H: Voss. **838** πατριαί H: Alb. **839** ὀμφαλίστηρ H: accent. Mus. **840** βόριον H: Mus. | καὶ ἀσπ. ὀμφ. ad fin. gl. H: trsp. Alb. **841** ἠνίαι H: spir. Schr. **842** μεσέ(?)τατοι H: Mus. **843** αἰγὸς H: Salm. Pears. 535 | πυθῶ H: accent. Mus. | add. bis Salm.; ‘de campo Aegaeo prope Cirrham cf. St. Byz. 38, 6 [α 93]. Eust. Dion. Per. 132’ La.

Hom. **844** *ὀμφή· φήμη θεία. κληδὼν θεία g^{4}S^{9}Σ(vg^{2}A^{6}Br^{168}). φωνή g^{4}S^{9}Br^{446} Σ(A^7). δόξα. πνοή S^9. ὀνείρου φαντάσματα (B 41) S^9(vg^{2}A^{6}Br^{168}Σ)

D **845** ὄμφορα· ὅσα ἀπὸ τῶν ἱερῶν ἐκφέρεσθαι ὁ νόμος κωλύει

D **846** ὀμφύνειν· αὔξειν. σεμνύνειν. ἐντιμότερον ποιεῖν

Hom. **847** *ὁμωθῆναι· εἰς ὁμόνοιαν ἐλθεῖν (Ξ 209) AS^1

848 ὁμωρόφιος καὶ ὁμώροφος· ὁ ὑπὸ τῇ αὐτῇ στέγῃ ὑπάρχων

849a ὅμως· πλήν.

Hom. **849b** ὁμῶς· ὁμοίως (A 196) S^{2}Br^{440}

D **850** ὁμωχέται· οἱ συμμετέχοντες τῶν αὐτῶν σπονδῶν. ἢ ὁμοβώμιοι. καὶ ὁμόναοι (Thuc. 4, 97, 4)

Ap. S. **851** ὅν· ἄρθρον ἀρσενικὸν ἑνικὸν ὑποτακτικόν· 'ὅν τινα μὲν βασιλῆα καὶ ἔξοχον' (B 188). καὶ οὐδέτερον ὑποτακτικόν· 'Ζεὺς δὲ πρὸς ὃν λέχος ἤϊ' Ὀλύμπιος' (A 609). καὶ ἀντωνυμία ἀρσενικὴ τρίτου προσώπου ἀντὶ τοῦ τὸν ἑαυτοῦ· 'αὐτὰρ ὅγ' ὃν φίλον υἱόν' (Z 474). ἢ ὑπάρχον. ἢ τὸν αὐτόν

Eur. **852** *ὀναίμην· τύχοιμι (g^{3}Σ), ἀπολαύσω v^{4}Br^{169}Σ, ὠφεληθείην (Eur. Hec. 997) vg^{3}Br^{169}

853 *ὀναίμην· ἀπήλαυσα v^{4}AS^7

854 *ὄναιντο [ἢ ὄναιτο]· ὠφεληθεῖεν vg^{1}AS^{6}Σ

D **855** ὄναιον· ἄμεινον

Hom. **856** ὄναρ· καθ' ὕπνον φαντασία (A 63)

Eur. **857** *ὀνάσθαι· ὠφελῆσθαι (Eur. Hipp. 517 ..) (v^{5}g$^{\text{ονδ-ονω}2}$Br^{478}Σ)

Hom. **858** ὄνειαρ· ὠφέλημα. ὀνήσιμον. ἀγαθόν (X 433 ..)

D **859** ὀνᾶς· δοῦλον ἀνόητον, ἀχρεῖον

D **860** ὄνοται· ἀτιμάζει. μέμφεται

Hom. **861** ὅγ γόνον· τοὺς ἑαυτοῦ προγόνους, ἢ τὴν ἑαυτοῦ γένεσιν (α 216?)

Hom. **862** ὀνείατα· ὅσα ὄνησιν ⌊παρέχει καὶ ὠφέλειαν (g^{26}). ἀγαθὰ βρώματα (I 91 ..)

---

844 – κληδών Schol.; – φωνή Σ (Σ^b) ο 160; ὀνείρου φαντάσματα Σ ο 161 **846** αὔξειν cf. Ph ο 319; σεμνύνειν Ph ο 329 **847** Schol. **849b** Schol. **850** – σπονδῶν Schol. Thuc. **851** τὸν ἑαυτοῦ Schol. **852** – ἀπολαύσω cf. Σ ο 162 **854** Σ ο 163 **857** cf. Σ ο 164 **858** ὠφέλημα Ap. S. 121, 15; cf. Schol. **862** cf. Ap. S. 121, 13; βρώματα Schol.

---

1262 ὁρμούμενος H: Voss. Biel. Pears. 541 = ΚΣ **1263** ὀρνεία H: Mus. **1264** ὀρνεόπωμα H: Salm. Kust. Jungerm. ad Poll. 7, 198 n.52, cf. Schol. Ar. **1269** cf. gl. 1280 **1270** 'rectius οροβαγχη [Guyet.] cf. Theophr. h. pl. 8, 8, 4. Plin. n. h. 18, 155 (?)' La. **1271** 'orobitis audit Plin. n. h. 33, 89' La. **1272** ὀρώγκη H: Guyet. Arnald. Lect. Gr. 107 = (Ph) | ὀρόγχθους H: HSt. Thes. 2, 1458 s. fin.; cf. gl. 1302 **1274** conf. c. ὁ Ῥοδανός agn. Alb. **1275** 'μελιτται an Μελιτται? alterum Lob. Aglaoph. 818 falso veriloquio fretus' La. ⟨καὶ⟩ Sop. Guyet. Heins. | κοπάζονται H: Sop. Guyet. Pears. 542 **1276** v. l. gl. 1320 (Pears. 542. Alb.) **1277** ὀρρωδοῦντες Mus. **1280** ὀρυβάδες H: HSt. Thes. 2, 1458E | αἶγαι H: Mus. **1281** ὀροικλάνια ci. La. **1283** ὀροίτυπος H: accent. Mus.

1285 ὄρονται· ἐφορμῶσιν. ἐπακολουθοῦσιν (ξ 104) Hom.
1286 ὅρος· νόμος, θεσμός. ἢ στήλη, ἡ καταπεπηγυῖα ἐπὶ χωρίῳ ἢ οἰκίᾳ D
1287 ὀρός· τὸ ὑδατῶδες καὶ ἀφιστάμενον τοῦ γάλακτος. ἀπὸ τοῦ ὀρούειν ἀπ᾽ αὐτοῦ (ρ 225) Hom.
1288 ὀρὸς γάλακτος· γάλακτος τὸ ἀφύλισμα
1289 ὄρος Κοτύλαιον· τῆς Εὐβοίας (Aeschin. 3, 86) Att.
1290 ὀρούα· χορδή. καὶ σύστημα πολιτικόν, εἰς ὃ Ἐπιχάρμου δράμα (PCG 1,70) D
1291 ὀρούειν· ὁρμᾶν (B 310 ..) Br^{463} Hom.
1292 *ὀροῦσαι· ὁρμῶσαι g^{ορω4}. λέγει δὲ ⟨τὸ⟩ αὐτὸ ὀρούειν καὶ ὁρμαίνειν
1293 ὅρμοι αἰώνιοι· θάνατος
1294 ὀρούματα· ὁρμήματα. πηδήματα
1295 ὀροτύπου δίκην· ... (Aesch. Sept. 85) D
1296 ⟨ὀροτύπους⟩· ὅτι οἱ γίγαντες ἀποσπῶντες ἀπὸ τῶν ὀρῶν κορυφὰς καὶ πέτρας ἔβαλλον D
1297 *ὀροφή· στέγη vg^{4}AS^{13}Br^{228}Σ
1298 ὀροφηφόρον· ζῷον πᾶν ὀστρακόδερμον D
1299 ὀροφίας· ὄφις τῶν κατ᾽ οἰκίαν D
1300 ὄροφος· κάλαμος, ᾧ στεγάζουσιν (Ω 451). ἤδη δὲ καὶ ἡ ὀροφή Hom.?
1301 *ὀροφοιτῶντα· εἰς ὄρη περιερχόμενον (4. Macc. 14, 15 v. l.) A^{10}Σ (v^{1}g^{ορμ10}Br^{226}) LXX
1302 ὄροχθον· ὄρειον ὄχθον D
1303 *†ὄρπα· Ἐρινύς v^{2}
1304 ὀρόων· ὁρῶν, βλέπων (A 350) Hom.
1305 ὅρπαξ· θρασὺς ἄνεμος D
1306 ὅρπας· τῆς ἀκρίδος ὁ γόνος, ἔνθεν γαροποιοῦσιν D
1307 ὅρπη· σίδηρος, ἐν ᾧ τὸν ἐλέφαντα τύπτουσιν D
1308 *ὅρπηκες· κλάδοι g^{3}(AS^{5}). ὄζοι (Φ 38) Hom.

1285 | Schol. **1287** Ap. S. 123, 5; – γάλακτος cf. Schol. **1289** Schol. Aeschin, 3, 86 (191a); Harp. 183, 9; St. Byz. 379, 11 (κ 190) **1290** cf. Athen. 3, 94f (cit. Epicharm.) **1291** Ap. S. 123, 3 **1296** cf. Ph ο 519 **1297** Σ ο 231 **1299** cf. Ph ο 705 **1300** κάλαμος cf. Schol. **1301** Σ ο 232 **1304** Schol. **1308** Ap. S. 123, 10; cf. Schol. |

1285 ὁρῶνται H: Voss. **1287** ὀρρὸς H: Voss. = (testt.) | ὑφιστάμενον Vales. **1288** ἀφύλιστα H: Mus. **1289** le. ὅρος H: Schr. | κοτυλέον H: Pears. 542. Alb. = testt. **1290** ὀροῦα H: accent. Palmer; ὀρύα Heins. Pears. 542 = (Athen.) | σύντριμμα H: Cas. ad Athen.; σύστρεμμα Mein. Phil. ex. in Athen. 1, 10 **1291** v. l.: gl. 1317 **1292** ορουσαν· ορμησαν K | add. La. **1293** ὁρμαιώνειοι· θάνατοι H: La. (‘gl. Christiana’) **1296** cont. H: nov. gl. et le. suppl. Schm. coll. Ph **1298** ὀροφήφορον H: accent. Mus. **1301** ὀροφυτόντα H: Mus. = ΚΣ **1302** ὀρόχθον H: accent. Mus. **1303** e gl. 1225 corrupt. (La.) **1304** ὁρόων H: spir. Alb. **1306** γὰρ ὁποιοῦσιν H: Bochart. Hieroz. 4, 2, 450 coll. Geopon. 20, 46, 1; Plin. n. h. 31, 93 cft. La. **1307** ὀρπησίδηρος, H: Palm.

1309 ὅρπηξ· κλάδος vg[1]A[6]Br[230]Σ ἐκπεφυκώς, κάτωθεν ἀναβλαστήσας, ἢ ἀπὸ τῆς ῥίζης τοῦ δένδρου, ὀρθὸς κλάδος
1310 *ὅ ῥα· ὅς ἄρα v[ορε11]
D **1311** ὀρρέξας· θραύσας. ἀνελόμενος
D **1312** ὀρριδιᾶν· τὸ ἐπὶ τὰ ἰσχία καὶ τοὺς γλουτοὺς πεσεῖν
D **1313** ὄρριον· ὀρίγανον
D **1314** ὀρρόβηλος· ὁδός. Ἰταλιῶται (cf. Sophr. fr. 6 K.–A.)
Att. **1315** *ὀρροπύγιον· ὀρθοπύγιον (Ar. Nub. 158) AS[6]
D + K **1316** ὄρρος· ἡ τράμις· οὐχ, ὥς τινες, τὸ ἰσχίον. ἕτεροι δὲ ἐτυμολογοῦσι καὶ τὸ ὀρρωδεῖν· οἱ γὰρ δεδοικότες ἰδίουσι τὸν ὄρρον, ὅ ἐστιν ἱδροῦσιν, ἢ *τὸ ὀστοῦν τὸ ὑπὸ τὴν ῥάχιν AS[7]
1317 †ὀρρούει· ὁρμᾷ. πηδᾷ AS[4]
1318 †ὄρρυνε· παρώρμησεν
1319 *ὀρρωδεῖ· φοβεῖται AS[2]Σ(v[ορο8]g[ορε14]AS[1]Br[209]). ἀπορεῖ (AS[2])
Eur. **1320** *ὀρρωδία· φόβος vg[ορο3]Br[222]Σ, ἀπορία (Eur. Med. 317)
1321 ὀρρωδίᾳ· τῷ φόβῳ
1322 *†ὀρροδωδέως· ἐμφόβως AS[5]
D **1323** ὀρσάγγης· σωματοφύλαξ. ἢ ὁ τὸν βασιλέως οἶκόν ποτε εὐεργετήσας (Hdt. 8, 85, 3)
1324 ὄρσαι· ὁρμῆσαι. ⌊ἐγεῖραι v[ορο6]. ἐρεθίσαι
D **1325** ὀρσιπετής· ὑψοῦ πετόμενος
D **1326** ὀρσίπους βοή· ἐριστικοὺς παρασκευάζούσα πρὸς τὸν τῶν ποδῶν δρόμον (trag. ad. fr. 245 K.–Sn.)
Hom. **1327** ὄρσο, ὄρσεο· ἐγείρου (Δ 204. Γ 250)
D **1328** ὀρσοδάκνη· ζωΰφιόν τι ἐν τῇ κράμβῃ γινόμενον
Hom. **1329** ὀρσοθύρα· θύρα μεγάλη καὶ ὑψηλή, δι᾽ ἧς ἐστιν ὀροῦσαι καταβαίνοντα. ἄλλοι πᾶσα θύρα μὴ ἔχουσα τὸν βαθμὸν πρὸς τῇ γῇ, ἀλλ᾽ ἀπέχουσα τοῦ ἐδάφους, οἷον θυρίς. ἢ θύρα εἰς ὑπερῷον ἀνάγουσα (χ 126)

1309 κλάδος Σ ο 233 **1315** Poll. 2, 183; Ph ο 526 **1316** Schol. Ar. ran. 223; τράμις Ph ο 526; ἕτεροι – cf. lex. rhet. 284, 30 **1319** Σ ο 234 | **1320** Σ ο 235 | **1323** cf. Ph ο 513 **1327** Scholl. **1328** Arist. h. an. 552a30 **1329** – καταβαίνοντα Apion. fr. 92 (Ap. S. 122, 13); ἄλλοι – E. Gen. 228 (EM 634, 8)

1310 ὅρια· ὡς H: post Mus. (ὅ ῥα) Voss. = K **1311** ὀρ- (= ον-, ανα-) H; ὀρρήξας Pears. 542 ('obstat ανελομενος' La.) | θραίσας H: Voss. **1312** ad ὄρρος Wack.* **1313** Dioscor. mat. med. 3, 37 ὀρσίνη cft. La. **1314** coloniae Chalcidensis esse vidit T. Kalén 1918, 76 **1316** ὀρρὸς H: accent. Mus. | τινες στοιχεῖον H: ed. 1521 = Schol. Ar. | ἕτερ᾽ H: Mus. | ὀρροδεῖν H: Mus. = Schol. Ar. | ἰδίουσι] ἰδοῖο? H: Salm. Pears. 542 | ὄρον H: Mus. = Schol. Ar. **1317** v. l. gl. 1291 **1318** e gl. 1520 corrupta (La.) **1319** ὀρροδεῖ H: Mus. = KΣ **1320** ὀρροδία H: Mus. = Σ | v. l.: gl. 1276 **1321** ὀρροδία H: Mus. **1322** ορρωδωσεως K; 'fuerit ορρωδων· ⟨περι⟩δεως' La. | ἐνφόβως H: Schr. | cf. gl. 1384 **1323** ὀροσάγγης Palm. Vales. = (Ph), ut Hdt. **1325** πετώμενος H: Mus. **1326** le. ὀρσίπους H: Schr. | ἐριστικ(ὸν)? H: Mus. **1329** ὀρθοθύρα H: Guyet. Heins. Jens. Luc. Hes. 173

1330 ὀρσοί· τῶν ἀρνῶν οἱ ἔσχατοι γενόμενοι D?
1331 ὀρσολοπεῖται· διαπολεμεῖται. ταράσσεται. Αἰσχύλος (Pers. 10) D
1332 *ὀρσομένη· διεγειρομένη AS[1]
1333 ὄρσω· τολμῶ
1334 ὁρτή· ἑορτή
1335 ὀρτάλιχοι· οἱ μήπω πετόμενοι νεοσσοί. καὶ οἱ ἀλεκτρυόνες. καὶ κρεμάστραι D
1336 ὀρτός· βωμός. Κύπριοι D
1337 ὀρυγάνει· ἐρεύγεται (Aesch. Ag. 1388?) D
1338 Ὀρτυγία· ἡ νῦν Δῆλος καλούμενη νῆσος
1339 Ὀρτυγίη ⟨ὅθι τροπαὶ⟩ ἠελίοιο· τοῦτο δέ ἐστιν, ὅπου αἱ δύσεις ἄρχονται. ἔγραψαν δέ τινες καὶ τροφαὶ καὶ στροφαί (ο 404) Hom.
1340 ὀρτυγομήτρα· ὄρτυξ ὑπερμεγέθης
1341 ὄρτυξ· πόα τις D
1342 ὀρύα· χορδὴ ἑφθή (Epich. fr. 81 K.–A.) D
1343 †ὀρυγμάδες· θόρυβοι
1344 †ὄρυγμος· βρυχόμενος
1345 †ὀρύεται· ὑλακτεῖ
1346 ὀρυκτήν· σκαπτήν (Θ 179) Hom.
1347 *ὀρυμαγδός· ταραχή (vg[1]AS[2]Br[231]Σ), ψόφος, ⌊θόρυβος, κτύπος (B 810 ..) vg[1]AS[2]Br[231]Σ Hom.
1348 ὄρυμος· βωμός. οἱ δὲ ὄρυμβος D?
1349 ὀρυνθεῖ· γρυλίζει D
1350 ὄρυξ· λαοξοϊκὸν σκεῦος. ἢ *σκαφίου εἶδος. καὶ ἰχθῦς. καὶ ζῷόν τι AS[3] τετράπουν, ⌊δόρκωνι κατὰ τὴν χροιὰν παραπλήσιον (Deut. 14, 5) A[S][3] D + LXX
1351 ὀρύξομεν· σκάψομεν (Η 341) Hom.
1352 ὀρφακίνης· ἰχθῦς ποιός D
1353 ὀρφναία· νυκτερινή, σκοτεινή. ὅθεν καὶ ὀρφανὸν εἰρῆσθαι τὸν ἐν σκότει ὄντα

1331 διαπολεμεῖται Ph ο 529 **1335** – νεοσσοί Ph ο 530; Ar. Byz. fr. 208 S.; Schol. Theocr. 13, 12c; ἀλεκτρυόνες Schol. Ar. Ach. 871b (Boeot.) **1340** Ph ο 533 **1347** cf. Σ ο 237; θόρυβος Schol. **1352** Athen. 7, 315b **1353** | Ap. S. 123, 11

1330 ὄρσαι Nauck, Ar. Byz. 106, cf. gl. ε 6054 **1331** αἰσχῦ^λ H: Mus. **1335** ὀρταλίχοι H: accent. Mus. | πετώμενοι H: Mus. | ἀλεκτρυῶνες H: Mus. | κρέμαστραι cf. gl. 1228 (Schm.) **1336** cf. gl. 1348 **1337** ὀρυγανεῖ H: accent. Mus. **1338** ὀρτύγια H: accent. Mus. **1339** ὀρτυγίη, ἐλίοιο τοῦτο H: Heins. | ὅπαι δύσεις H: Heins. **1341** ὀρτυξὶς H: Schm. coll. Theophr. h. pl. 7, 11, 2 **1342** cont. H: nov. gl. Sop. Palm. Vales. | ὀρυαχόρδη ἐφθή H: Sop. Palm. Vales. | cf. gl. 1290 **1343** v. l. gl. 1347 (Alb.) **1344** v. l. gl. ω 386 **1345** v. l. gl. ω 384 **1346** σκάπτειν H: Mus. **1347** ὀρυγμαδὸς H: Voss. Jens. Luc. Hes. 173 = KΣ | v. l.: gl. 1343 **1348** cf. gl. 1336 **1350** ὄρυγξ H: HSt. Thes. 2, 1480B = K | λαοζοικὸν H: Jun. Salm. Heins. al. | εὐσκαφίου H: Mus. | ἰχθὺς H: accent. Mus. | δορκόνι H: La. = K **1352** ἰχθὺς H: accent. Mus. **1353** ὀρφαναία H: Mus.

1354 ὀρφανή· ἐπὶ γονέων

Eur. **1355** ὀρφανός· ὁ γονέων ἐστερημένος. καὶ τέκνων (Eur. Phoen. 988)

D **1356** ὀρφίνη · καλάμη μελίνης

Eur. **1357** *ὀρφναία· σκοτεινή (AS^{4}Σ). μελανή (Eur. Or. 1225) (A^{4})

Eur. **1358** *ὄρφνα καὶ ὄρφνη· σκοτία. νὺξ vg^{1}Br^{232}Σ(AS^{2}) μέλαινα (Eur. Rhes. 42. 697 ..) vg^{1}Br^{232}Σ

1359 ὀρφνῆεν· μέλαν, σκοτεινόν. καὶ ὀρφανόν . . .

D **1360** ὄρφνινον· τὸ μέλαν ἱμάτιον. καὶ ὀρφνίδες

D **1361** ὀρφοβόται· ἐπίτροποι ὀρφανῶν

D **1362** ὀρφοβοτία· ἐπιτροπή

D **1363** ὀρφώς· ἰχθῦς ποιός

Hom. **1364** *ὄρχαμε λαῶν· βασιλεὺς ἄγων λαόν (Ξ 102) (g^{7}A^{10})

Hom. **1365** ὄρχαμος· βασιλεύς. ⌊ἡγεμών (Β 837) vg^{4}A^{16}S^{17}Br^{233}Σ

D **1366** ὀρχάς· περίβολος, αἱμασιά. καὶ ⌊εἶδος ἐλαίας vg^{3}

Hom. **1367** *ὄρχατοι· αἱ ἐπὶ στίχον φυτεῖαι A^{15}S^{18}, ἢ αἱ κήπων. ἀπὸ τῆς ὀρχήσεως (Ξ 123)

D? **1368** ὀρχέα· ἡ τοῦ ταύρου ὀσχέα

1369 ὀρχεῖται· διασείεται. βακχεύει

Hom. **1370** *ὀρχηστής· ποτὲ μὲν ὁ χορικός· ποτὲ δὲ ⌊ὁ ἐν πολέμῳ εὐκίνητος (Π 617) v^{5}

1371 ὀρχήστρια· ἑταίρα

1372 †ὄρχια· ζῷον τῶν τετραπόδων. καὶ πόα

D **1373** ὀρχηδόν· ἡβηδόν (Hdt. 7, 144, 1)

D **1374** ὀρχίλον· ὀρνιθάριον τῶν εὐφώνων. λέγεται δὲ ὑπό τινων σαλπικτής

D **1375** ὀρχιπεδίζειν· τὸ κακοσχολεύεσθαι παρὰ τοῖς παισί

1376 ὀρχηθμοῖς· ὀρχήσεσιν AS^{12}

1377 †ὀρχιστής· συγκεκροτημένος (AS^{11}) περὶ τὰ πολεμικά (A^{11})

D **1378** ὀρχμαί· φραγμοί. καλαμῶνες. φάραγγες. σπῆλυγξ

1357 cf. Σ ο 238 | **1358** Σ ο 239; σκοτία Ap. S. 123, 11 **1360** cf. Poll. 7, 69 | **1363** Pamphil. ap. Athen. 7, 315a; Poll. 6, 50 **1365** | Ap. S. 123, 19; Schol.; Σ ο 240 **1367** – κήπων Schol. **1370** | Schol. **1373** gl. Hdt. 461, 4 (LGM 209) **1374** cf. Ph ο 542 **1375** cf. Ph ο 543

1359 ὀρφνηὲν H: accent. Mus. **1360** ὀρφνίον H: Sop. = (Ap. S) | ὀρφνιδές H; cf. ad conform. παρορφνιδωτον Schwyzer 462 B 40 **1363** ὀρφῶς Schm. coll. Arcad. 84, 16 | ἰχθὺς H: accent. Mus. **1364** le. ὄρχαμε H: ed. 1521 | βασιλεῦ Mus. = K^{g} **1366** ἁρμασία H: HSt. Ind. **1367** ὄρχαστοι H: Guyet. Salm. Pears. 543 = K Schol. | ἐπὶ στοιχείοις H: La. = K; ἐπὶ στίχων Schol. | φυτίαι H: post Mus. Schm. = K Schol. **1370** χωρικὸς H: Mus. | v. l.: gl. 1377 **1371** ὀρχέστρια H: Mus. | αἵρα H: Palm. **1373** ὀρχιδὸν ἥβινδόν H: Mus. = gl. Hdt. **1374** εὐωνήτων H: post Drag. (εὐφωνικῶν) La. | σαλπίκτης H: accent. Mus. **1375** ὀρχιπαιδίζειν H, ὀρχιπεδεῖν Ph: Guyet. Salm. **1376** ὀριχηθμοῖς H: Mus. **1377** v. l. gl. 1370 (Mus.) **1378** σπήλυγξ H: accent. Schm.

1379 ὄρχοι· στίχοι ἀμπέλων
1380 Ὀρχομενός· πόλις Βοιωτίας, ἣν Μινύειον καλοῦσιν (B 511) Hom.
1381 ὄρχος· *κῆπος v^{2}g^{ορπ4}AS^{13}. καὶ φυτῶν στίχος (η 127) Hom.
1382 †ὀρωδεῖ· μαίνεται. φοβεῖται. φρίττει. εὐλαβεῖται. δειλιᾷ
1383 †ὀρωδία· φόβος, καὶ τὰ ὅμοια
1384 †ὀρωδεῶς· ἐμφόβως
1385 †ὀροδοῦν· ἐκφοβοῦν
1386 ὁρῶν· ἰδών, θεωρῶν (E 872) Hom.
1387 ὀρώρει· ὥρμητο. διεγήγερτο (B 810) Hom.
1388 ὄρωρεν· ἐγήγερται, ⌊διηγέρθη. ἀνῆλθεν (B 797) vg^{1}(AS^{5}) Hom.
1389 ὀρώρεται· τετάρακται. τεθύμωται (τ 377) Hom.
1390 ὀρωρέχατο· ὡρμημένοι ἦσαν, ἢ ἐκτεταμένοι (Λ 26) Hom.
1391 ὀρροχμόν· ἔσχατον. ἄκρον
1392 *ὁρῷτο· βλέποιτο (T 132) g^{2}Σ Hom.
1393 *ὅς· ἄρθρον ἀρσενικόν, ⌊ὅστις v^{οσο3}g^{οσρ2}S^{1}Br^{237}, οὗτος
1394 *ὃς αἰσυμνᾶι· βασιλεύει (Eur. Med. 19) AS^{1} Eur.
1395 *ὁσάκις· ποσάκις g^{οσσ6}
1396 ὁσάτιον· ὅσον (E 758) Hom.
1397 ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργεν· . . . (Ξ 349) Hom.
1398 ὃς δέ κεν· ὅς δ' ἄν Hom.
1399 ὃς ᾔδη· ὅστις ᾔδει (A 70) Hom.
1400 *ὁσημέραι· πάντοτε vg^{1}A^{2}Σ καθ' ἡμέραν vg^{1}A^{2}Br^{234}Σ Att.
1401 ὅσια· ἄλφιτα δεδευμένα ἐλαίῳ καὶ οἴνῳ. καὶ ἡ καρδία D
1402 ὁσία γνώμη· γνησία S^{5}
1403 ὁσίη· θέμις (χ 412) Hom.
1404 ὅσιος· καθαρός (v^{1}). δίκαιος. εὐσεβής. εἰρηνικός. ἁγνός
1405 ὁσιουργῆσαι· †ἀποκαρδιουργῆσαι. καὶ τὸ ἐπιλέγειν ἐν ταῖς θυσίαις, ὅταν ἀπάρχωνται, τῶν θεῶν †αὐτῶν D
1406 ὁσίους θαλάμους· τοὺς μὴ θείους, ἀλλ' ἀνθρωπείους (trag. ad. fr. 246 K.–Sn.). ἔστι δὲ ἀπὸ τῆς ἕσεως τὸ ἐφιέμενον καὶ μὴ ἀπηγορευμένον· ὡς καὶ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτοὺς (24, 9 ..) D

1379 cf. Σ ο 241 **1380** Schol. **1381** cf. Ap. S. 123, 15; φυτῶν στίχος cf. lex. rhet. 287, 16; Ph ο 545 **1387** | Schol. **1388** cf. Schol. **1389** Schol. | **1390** Ap. S. 123, 21 | Schol. **1392** Σ ο 242 **1394** cf. Schol. Eur. **1396** Schol. **1400** Σ ο 243 **1406** – ἀνθρωπείους Ph ο 555

1379 ὀρχοὶ H: accent. Mus. **1380** ὀρχόμενος H: accent. Mus. | μηνύιον H: Mus. **1381** ὀρχὸς accent. Mus. | στῖχος accent. Mus. **1382–5** v. ll. gll. 1319–22 (Mus.) **1385** ὀροδοῦν H: ο corr. in ω Mus. **1387** ὀρωρῇ H: Mus. = Schol. **1390** ὀρωρέχαντο H: Mus. = testt. | εἰσὶν H: Schm. = testt. **1391** "*ορσ-οχμον "quod partes postremas tenet"" La. **1394** init. lin. σσαῖ συμμαι H: ὅ inser. Mus., cett. Schm. = (Schol. Eur.) **1396** cf. gl. 1427 **1397** ὑψόος ἔργον H: Nauck 1856, 6 = Hom. **1399** ᾔδη alt. H: Mus. **1401** 'καρδια Christianum' La. **1402** le. ὁσία H: La. **1405** απο καρδιας ιερουργησαι ci. La. | θεων παντων ⟨τα ονοματα⟩ ci. La. **1406** ἀν^{θ}είους H: Mus. = (Ph) | ἕσσεως H: Guyet.

Eur. **1407** *ὁσίως· πρεπόντως. δικαίως (Eur. Hipp. 1287) vg^{2}AS^{3}Br^{235}

D **1408** Ὄσιρις· αἱ ἐν Αἰγύπτῳ ⟨γυναῖκες⟩ ὑπηνέμια τίκτουσι, τὸν λεγόμενον Ὄσιριν [γυναῖκες]

D **1409** ὀσκάπτω· ἀνασκάπτω

D **1410** ὀσμύλια· τῶν πολυπόδων αἱ ὄζαιναι λεγόμεναι. καὶ ἰχθύδια ποῖ᾽ ἄττα εὐτελῆ (Ar. fr. 258, 2 K.–A.)

D **1411** ὀσμύλαι· βολβιτίναι θαλάσσιοι

Hom. **1412** *ὅς κεν· ὅστις δή (Α 64 ..) A^{1}

Hom. **1413** ὃς μέγα· ὅστις μεγάλως (Α 78)

Hom. **1414** ὅς οἱ· ὅστις αὐτῷ (Β 184 ..)

? + LXX **1415** *ὅσον· ὀλίγον AS^{8}. ὅσον ὅσον δὲ ὀλίγον ὀλίγον (Esai. 26, 20) vg^{2}AS^{7}Br^{210}

Att. **1416** *ὅσον οὔπω· ταχύ vg^{1}AS^{6}Br^{236}Σ

1417 ὅσος· ὁπόσος

Hom. **1418** ὃς οὐδὲν τοῖος ἔην· ὃς οὐκ ἦν τοιοῦτος, ἀλλὰ τοὐναντίον λαμπρός (δ 248)

1419 *ὁ σπονδοφόρος· ὁ φιλοποιός g^{οσσ2}AS^{1}

Hom. **1420** ὅσπερ ἔφηνεν· ὅσπερ καὶ φανερὰ ἐποίησεν (Β 318)

D **1421** ὄσπρα· ποικίλα

D **1422** ὄσπρια καὶ γενικῶς καὶ ἰδικῶς λέγεται

D **1423** ὄσπρος· ἰδίως τις λέγεται, ὡς πισὸς καὶ ἐρέβινθος

Hom. **1424** *ὅς ῥα· ὅστις δή (Α 405) vg^{1}AS^{3}

1425a ὅσα· ὁπόσα g^{οσσ5}. ὅσα, τόσα.

Hom. **1425b** ⟨ὄσσα·⟩ κληδών, καὶ φήμη (Β 93)

Hom. **1426** *ὅσσα δίσκου οὖρα· ὅσα δίσκου A^{9} οὔρια (Ψ 431)

Hom. **1427** ὁσσάτιον· ὅσον (Ε 758) g^{οσσ5}

Hom. **1428** ὅσσα ἔοργας· ὅσα εἰργάσω (Γ 57)

Hom. **1429** *ὄσσε· ὀφθαλμοί. δυϊκῶς (Α 104) v^{ουτ5}g^{οστ5}

Hom. **1430** ὄσσε καθαιρήσουσι· καμμύσουσι τοὺς ὀφθαλμούς, καὶ συγκλείσουσιν· ὅπερ τοῖς νεκροῖς γίνεται ὑπὸ τῶν οἰκείων περὶ τὸν τοῦ θανάτου καιρόν (Λ 453)

1410 Poll. 2, 76; Athen. 7, 329a | Ph ο 558 (cit. Ar.) **1411** Athen. 7, 318e; cf. Galen. lex. β 12 **1412** Schol. **1413** Schol. **1414** Schol. **1416** Σ ο 248 **1424** Schol. **1425b** Ap. S. 123, 23; Schol. **1427** Schol. **1428** | Schol. **1429** Ap. S. 123, 22; Schol. **1430** – συγκλειουσιν Schol.

1408 trsp. La. **1409** '= *ον-σκαπτω cf. gll. 1311. 1454' La. **1410** ὀξέναι H: HSt. Thes. 2, 1195D = (testt.) | ποιὰ ἀλλ᾽ H: Bentl. Ep. ad Mill. 35 (2, 286) **1411** ὀσμύναι· βολβητῖναι H: Bentl. = testt. **1412** δέ H: La. = K; ἄν Schm. = Schol. **1414** ὅσοι H: Mus. = Schol. **1415** nov. gl. ὅσον ὅσον H: cont. Alb.; cf. Wack. Kl. Schr. 2, 1201–2 **1418** le. ὃς H: Ald. **1419** ὁ om. rubr. in init. lin. H: Alb. **1420** φανερὸν Alb. **1423** cf. οσπρηγος OGI 521, 25 ('ficticium putat Dittenb. vix recte' La.) **1425b** le. add. Mus. = testt. | κλήδων H: accent. Mus. **1426** δισκούουρα H: Pears. 544. Alb. | expl. δίσκου ὁρμή Schol. **1430** ὄσσαι H: Mus. | καμύσουσι H: Mus. | συγκλ.σουσιν H: Mus.

1431 ὄσσε δέ ⟨οἱ⟩· ὀφθαλμοὶ δὲ αὐτοῦ (Α 104) Hom.
1432 ὄσσει· βλέψει. ἴδοι
1433 *ὄσσεις· βλέπεις g^{3}AS^{7}(v^{ουτ7}). ὁρᾷς
1434 ὄσσευ· ὅρα, βλέπε
1435 ὅς σευ· ὅστις σοῦ (Β 27) Hom.
1436 ὀσσέων· ὀφθαλμῶν
1437 ⟩οσσητῆρα· βοηθόν (Ο 254 ..) Hom.
1438 ὀσσίξαι· ἐπιδεῖξαι D
1439 ὀσσίχον· ὅσον. ἡλίκον (Theocr. 4, 55) D
1440 ὄσσομαι· περιβλέψομαι, ὁρῶ
1441 ὀσσόμενος· *τοῖς ὀφθαλμοῖς g^{οστ4} ὑποβλέπων (Α 105) (v^{ουτ6}g^{οστ4} AS^{11}), ἢ κατὰ ψυχὴν προσδεχόμενος (α 115). ἢ *προσδοκῶν (υ 81) v^{ουτ6}g^{οστ4}AS^{11} Hom.
1442 ὅσσον· ὁπόσον. πηλίκον (Α 186) Hom.
1443 ὅσσον τε γέγωνε βοήσας· ὅσον δ' ἐβόησε κραυγάσας ἀνήρ (ε 400) Hom.
1444 *ὄσσοντο· διενοῦντο. προεώρων (Σ 224) AS^{10} Hom.
1445 ὄσσοντο δ' ὄλεθρον· πρὸ ὀφθαλμῶν εἶχον, τουτέστι προσεδόκων, καὶ προεσήμαινον, καὶ ἔμφασιν ἐποιοῦντο (β 152) Hom.
1446 *†ὀσσυπηρόν· ῥυπαρόν vg^{4}
1447 ὅς σφιν· ὅς αὐτοῖς (Α 253) Hom.
1448 ὀσσᾶσθαι· κληδονίσασθαι
1449 *ὄσσων· βλεφάρων, ὀφθαλμῶν (Hes. th. 826) v^{ουτ8}A^{8}
1450 ὀσταθείς· ἐξαγκωνισθείς
1451 ὀστακός· εἶδος καράβου. οἱ δὲ ἀστακὸν λέγουσιν D
1452 ὄστλιγξ· πλόκαμος, ⟨παρὰ τὸ⟩ ἑλίξαι, βόστρυχος (Callim. fr. 7, 12). ἢ τὸ ἐν τοῖς βότρυσι γινόμενον D
1453 †ὀσταλιόχος· τόξευμα
1454 ὄστασαν· ἀνέστησαν D

1431 Schol. **1435** Schol. **1437** Schol. **1439** Schol. Theocr. 4, 55b **1441** ὑποβλέπων cf. Schol. A; E. Gen. 229 Mill. (EM 636, 1); – ὑποβλέπων .. προσδοκῶν Schol. α; – προσδεχόμενος Ap. S. 123, 25 **1442** Schol. | **1444** | Schol. **1447** cf. Schol. **1451** Ph ο 563 **1452** βόστρυχος cf. Schol. Ap. Rh. 1, 1297

1431 δέ, οἱ ὀφθαλμοὶ H: οἱ in le. trsp. Schm. | αὐτῷ Schol.$^{v.l.}$ **1432–3** 'de activo recte dubitat Lob. Rhem. 100' La. **1432** ὄσσοι Mus.; tum βλέψοι Alb. **1433** ὀσσεῖς H: accent. Mus. **1435** ὁσσεῦ H: Mus. = Schol. **1436** 'vix sanum; το οσσος Aeolicum dicit Herod. 1, 208 L., refutatus Sapph. fr. 138 L.–P. cf. gl. 1449' La. **1437** h. e. ἀοσσητῆρα Alb. = Schol | βοηθῶν H: Mus. = Schol. **1438** ὀσσῆξαι H: Voss., 'fama (οσση) notare' La. **1439** ὀσσίχον H: spir. Schm. **1440** περιβλέπομαι Mus. **1443** γέγονε H: Mus. **1445** προσεδόκουν H: Mus. **1446** v. l. gl. 421 (HSt. Ind.) **1448** ὀσσῶσθαι H: Mus. | κληδωνίσασθαι H: Schm. **1449** ὀσσῶν H: accent. Mus. **1450** ὃς ταθεὶς H: Mus. | v. l.: gl. 979 **1452** ὀστάλαιξ H: Sop. Palm. | add. La. | ἕλιξαι H: accent. La. | τοῖς om. Schr. **1453** ὀϊστ- Alb, qui de -λι- dub. **1454** '*ον-στασαν cf. gll. 1311. 1409' La,

D 1455 ὀσταφίς· οὕτω διὰ τοῦ ο̄ ἔλεγον τὰς ἀσταφίδας
Hom. 1456 ὀστέον εἴσω· ἕως τοῦ ὀστοῦ (Δ 460)
Hom. 1457 ὅστ' εἶσιν· ὅστις διέρχεται (Γ 61)
Hom. 1458 *ὅς τοι· ὅστις σοι (Ο 91 ..) A[7]
D 1459 ὀστρακίνδα· παιδιὰ ἦν ἐπὶ τῷ ὀστράκῳ
D 1460 ὀστρακίς· ἀγαλμάτιόν τι Ἀφροδίτης
Att. 1461 ὀστρακισμός· οἱ κακονούστατοι τῷ δήμῳ ἐξωστρακίζοντο, καὶ κατεδικάζοντο, ὀστράκοις ἐγγραφόντων τὸ ὄνομα τοῦ φευξομένου
Att. 1462 *ὀστρακισμός· εἶδος φυγῆς ἐν ὀστράκοις γραψάντων ⟨δεῖν τὸν δεῖνα φεύγειν⟩. ἀπὸ τῶν ὀστράκων ὀστρακισμός AS[9]
D 1463 ὄστρακον· ὁπότε τις ἀποθάνοι, γάστραν πρὸ τῶν θυρῶν ἐτίθεσαν, ἐξ ἄλλης οἰκίας λαμβάνοντες καὶ πληροῦντες ὕδατος (Ar. Eccl. 1033)
D 1464 ὀστράκων· 'ἀπτῆνα, τυτθόν, ἄρτι γυμνὸν ὀστράκων' (Aesch. fr. 337 R.), ἀντὶ τοῦ ᾠῶν. τινὲς δὲ κελύφων
D 1465 ὄστρεα· τὰ κογχύλια. Λάκωνες ἄνθος
1466 *ὄστρεον· μυάκιον θαλάσσιον vg[1]AS[8]Br[238]
D 1467 ὄστριμον· ἐν ᾧ αἱ θεριναὶ μοναὶ τόπος. οἱ δὲ ἔπαυλις (Antimach. fr. 49 W. = 55 M.))
LXX 1468 *ὀσφραίνεται· ὀσμᾶται (Iob 39, 25) A[1]
D 1469 ὀσφρέσθαι· τὸ ὀσφρανθῆναι (Eupol. fr. 7 K.–A.)
1470 *ὀσφύος· ψόας (vg[οστ2]A[3]Br[239]S[4]). ῥάχις vg[οστ2]A[2]Br[239]. καὶ τὸ πλησίον τῶν γλουτῶν g[οστ2]A[2]Br[239]
1471 ὀσφῦς· ὁ παρὰ πλευρὸν διάκενος τόπος
Hom. 1472 ὃ σφῶϊ· ὃς ὑμᾶς (Α 336)
D 1473 ὄσχαι· κλήματα βοτρύων γέμοντα
D 1474 ὄσχεα· βαλλάντια g[ουτ10]AS[2], μαρσύππια. ἢ τὸ τῶν διδύμων ἀγγεῖον. [καὶ κλήματα βοτρύων πλήρεις]
D 1475 ὀσχεός· τὰ αὐτά

1457 cf. Schol. **1459** Ph ο 570; Poll. 9, 111 **1461** Σ'' (Ph ο 572. Su ο 716) **1462** Ph ο 573 **1463** Schol. Eur. Alc. 98 **1464** – ᾠῶν Ph ο 569 (cit. Aesch.) **1467** | cf. Ph ο 575 (cit. Antim.) **1470** ῥάχις E. Gen. 229 Mill. (EM 636, 19) **1472** Schol. **1473** cf. Ph ο 577; Theogn. can. 44 (C. 13, 24) **1474** ἢ – ἀγγεῖον Poll. 2, 172

1455 ὄσταφις H: accent. Alb. **1456** εἶσο H: Mus. **1458** ὅστι H: Mus. **1459** ὀστράκινδα H: accent. Mus. **1461** κακῶν οὔστατοι H: Mus. = Σ'' | ἐγραφόντων H: Mus. = Σ'' **1462** add. La. = K **1464** ὀστράκων, στ ex ρ dum scrib.? H | ἀπτὴν ἄτυτθον H: Salm. **1465** 'ανθος color' La. **1476** 'aestiva pastio' La. **1469** ὄσφρεσθαι H: accent. L. Dind. 5, 2321D | εὐφρανθῆναι H: Guyet. **1470** οσφυς K | ψώας H, ψοα K[g], ψυα K[v]: Heins. Pears. 544 = K[A] **1471** ὀσφὺς H: accent. Mus., cf. Arcad. 92. 11 **1472** ὃς σφῶ H: Alb. = Schol. **1474** βάλαντια H: accent. Mus., -λλ- Ald. | μαρσίππια H: Mus. | incl. e gl. 1473 (Schm.) | πλήρη Mus. | v. l.: gl.425 **1475** ὄσχεος H: accent. Schm.

1476 *ὄχεσφιν· ὀχήμασιν (Δ 297 ..) S[οσφ5] Hom.
1477 *ὅς χ' ἕτερον· ὃς ἂν ἄλλο (I 313) AS[1] Hom.
1478 *ὅταν παίω· ὅταν παιδεύω, ἢ τύπτω (Exod. 12, 13) vg[1]A[4]Br[241] LXX
1479 ὅτε· ὅταν. ἐπειδή· 'δισθανέες, ὅτε τ' ἄλλοι ἅπαξ θνῄσκουσ' ἄνθρωποι' (μ 22) Hom.
1480 ὅτε ἔφησθα· ὅτε ἔλεγες (A 397) Hom.
1481 ὅτε κέν σε· ὅτε ἄν σε (X 359) Hom.
1482 ὅτε μ' ὤνατο· ὅτε κατεμέμψατο καὶ ἐξεφαύλισεν (P 25) Hom.
1483 ὀτέῳ· ὅτῳ. ᾧτινι (O 664) Hom.
1484 ὅτε, ὅτε περ· ⟨ὁπότε⟩ (E 802 ..) Hom.
1485 ὅτι ἄριστον· ὅτι τὸν κράτιστον (A 244 ..) Hom.
1486 ὅτι μάλιστα· λίαν, πάνυ, πλέον, ⌊σφόδρα (Br[468]), ἄγαν
1487 ὅτι μή· ὅτι οὐχί
1488 ὅτινας· οὕστινας (O 492) Hom.
1489 ὅτι οἶσθα· ὅπερ οἶδας (A 85) Hom.
1490 ὀτέοισιν· οἷστισιν (O 491) Hom.
1491 *ὁτιοῦν· τὸ τυχόν vg[1]AS[3]Br[242]
1492 †ὁτιποῦ· οὐδαμῶς
1493 ὅτι ῥα· ὅτι δή (A 56) Hom.
1494 ὅτις· ὅστις (Γ 279) Hom.
1495 ὅτι τόσον· διότι τοσοῦτον (A 64) Hom.
1496 ὀτλεύει· πονεῖ. κακοπαθεῖ D
1497 ὀτλημάτων· κακοπαθημάτων D
1498 ὁ τλήμων· ὁ ἄθλιος (Eur. Med. 1204 ..) AS[1] Eur.
1499 ὄτλος· μόχθος D
1500 ὀτλῶ· πονῶ. κακοπαθῶ D
1501 ὀτοβεῖ· θορυβεῖ (Aesch. fr. 57, 6 R.?)
1502 ὄτοβος ἄλιμος· θάλασσα θορυβώδης (trag. ad. fr. 247 K.–Sn.)) D
1503 *ὀτοτύζειν· κλαίειν. ⌊θρηνεῖν v[οτα2]Br[433]
1504 *ὅτου δὲ δή· οὗτινος δὲ δή AS[5]Br[245]
1505 ὅτου δή· τίνος δή
1506 ὅτου ἕνεκα· τίνος ἕνεκα
1507 *ὁτουοῦν· οὗτινος οὖν vg[1]A[4]Br[244]

1480 Schol. **1482** Schol. **1483** | Schol. **1490** Schol. **1493** Schol. **1495** cf. Schol. **1497** cf. Theogn. can. 44 (C. 13, 23) **1499** Ph o 590; E. Gen. 230 Mill. (EM 636, 36) **1506, 1508** Σ o 249

1476 ὄσχεσφιν H: Guyet. Jens. Luc. Hes. 174 = K **1477** ὁσεχέτερον H: Mus. = K **1479** le. ὅτε ὅταν H: ed. 1521 | δυσθάνεες H: δισ- Mus., accent. Schr. = Hom. | ἄνθ(ρωπο)ς H: Ald. = Hom. **1480** ἔφεισθα H: Mus. = Schol. **1484** πηρ̅ H: Schm. **1490** ὅτι οἷσιν H: Jens. Luc. Hes. 174 = Schol. **1492** v. l. gl. 1903 (Alb.) **1495** τόσσον Jens. Luc. Hes. 174 = Schol. **1502** ἄλιμος H: spir. Alb. **1503** κλαίειν] λέγειν H: La. **1507** ὁτουοὺν H: accent. Mus.

1508 *ὅτου χάριν· τίνος χάριν (v^{ουτ9}g^{2}AS^{6}Σ)
1509 †ὅτρα· ἡ τοῦ ἀλέκτορος οὐρά
Hom. **1510** *ὀτραλέως· ταχέως. ὀξέως AS^{3}. δραστικῶς. ἐνεργῶς (Γ 260) A^{8}S^{3}
1511 †ὅτρεα· ἡμίονος
Hom. **1512** Ὀτρεὺς καὶ Μύγδων· βασιλεῖς Φρυγίας (Γ 186)
Hom. **1513** *ὀτρηρή· ἐνεργός. σπουδαία (Ζ 381) A^{9}
Hom. **1514** *ὀτρηρὴ ταμίη· ἡ τηροῦσα τὸν οἶκον (Ζ 381) AS^{4}
Hom. **1515** *ὀτρηροί· ἀνδρεῖοι AS^{7}. ταχεῖς vg^{1}AS^{7}Br^{246}(Σ). ὀξεῖς (vg^{1}Br^{246}Σ). ἐνεργείς. ⌊δραστικοί AS^{7}(v^{1}Br^{246}Σ). ὑπήκοοι. πιστοί g^{1}AS^{7}. σπουδαῖοι (α 109) S^{7}
1516 *ὀτρηρόν· τὰ αὐτά (A^{5})
Hom. **1517** ὄτριχας· ὁμοιότριχας (Β 765)
D **1518** ὀτρύγη· χόρτος. καλάμη
D **1519** ὀτρυγηφάγου· περιττὸν τὸ ο̄. τρύγη γὰρ ὁ σῖτος καὶ ὁ χόρτος (Archil. fr. 43, 3 W.)
Hom. **1520** ὀτρῦναι· *παροξῦναι vg^{2}AS^{6}Br^{247}(A^{10}). κελεύειν. σπεύδειν. *παρορμᾶν (Θ 219) (A^{10})
1521 ὀτρυντήρ· κήρυξ. κελευστής. σαλπικτήρ
Hom. **1522** ὀτρυντύς· παρακέλευσις. προτροπή (Τ 234)
Hom. **1523** ὅττεο· οὗτινος (α 124)
1524 *ὅττεσθαι· κληδονίζεσθαι AS^{2}
D? **1525** ὀττεύεσθαι· ὁμοίως
D? **1526** ὄττιες· ὄψεις
Hom. **1527** ὅττι κεν ἄρχῃ· ὅτι ἂν κρατῇ, καὶ σύμφορον εἶναι δοκῇ (Ι 102)
Eur. **1528** *ὀττοτοῖ· θρηνῶδες ἐπίφθεγμα (Eur. Or. 1389 ..) AS^{1}
1529 οὗ· οὗτινος
1530 οὐ· ἐπίρρημα ἀρνητικὸν κατὰ στέρησιν, ἤτοι οὐχί. εἴωθεν δὲ αὐτὸ ὁ ποιητὴς παραλαμβάνειν καὶ μετὰ τῆς μά φωνῆς. συμπλέκει δὲ αὐτῷ καὶ τὸ πω. σημαίνει δὲ καὶ ὅπου καὶ ἔνθα τὸ οὗ

1510 ταχέως Ap. S. 123, 27; Schol. **1511** cf. Theogn. can. 44 (C. 13, 23) **1512** Schol. **1513** cf. Schol. | **1515** ταχεῖς .. δραστικοί cf. Σ ο 250; ἐνεργεῖς Ap. S. 123, 27; δραστικοί Schol.; δραστικοί .. σπουδαῖοι E. Gen. 230 Mill. (EM 637, 14) **1517** Ap. S. 123, 31; Schol. **1519** cf. E. Gen. 230 Mill. (EM 637, 24) **1520** cf. Ap. S. 123, 28 **1522** cf. Ap. S. 123, 29; Schol. | **1525** Ap. S. 123, 23 **1527** Schol.

1509 v. l. gl. 1820 **1510** ὀτραλαίως H: Mus. = testt. **1511** v. l. gl. 1169 (Alb.); idem vitium Theogn. **1512** μυγδὼν H: accent. Mus. **1513** ὀτρ . ρὴ H: Mus. = Schol. **1515** v. l.: gl. 1910 **1517** ὀτρίχας H: accent. Mus. | ὁμοιοτρίχας H: accent. Mus. **1518** ὀτρύχη H: Voss. **1519** cf. gl. α 8169 **1521** σαλπικτὴρ H: γ sscr. post ι Mus. **1522** ὀτρύντης H: Mus. **1524** κλυδωνίζεσθαι H: Mus. **1525** Atticum dicit Ap. S. 123, 23 (expl. κληδονίζειν) **1526** ὅττις H: La. post Alb. coll. Aretae. 4, 13, 15 Hude, 'Hyperionicum'; ὅττεις Voss. **1527** nov. gl. ὅτι H: cont. Salm. | κράτη H: accent. Mus. | δοκεῖ? H: accent. Mus. **1528** ὀττοτοὶ? H: accent. Mus. **1530** ad fin. οὔ H: accent. Munck. Anton. Lib. 251

1531 οὗ· δασυνόμενον μὲν δηλοῖ ἄρθρον ἀρσενικὸν καὶ οὐδέτερον ὑποτακτικόν, καὶ σύναρθρον ἀντωνυμίαν τρίτου προσώπου. ἐμοῦ, σοῦ, οὗ
1532 οὐαί· †φυλαί
1533 †οὐάραι· ἡμεῖς. Κύπριοι
1534 *οὗ ἀρᾶς γέμει· οὗ κατάρας πλήρης ἐστίν (Ps. 9, 28) vg^{2}AS^{5}Br^{250} LXX
1535 οὔαρον δὲ ἔλαιον. Κύπριοι D
1536 *οὔατα· ὦτα (υ 365 ..) vg^{1}AS^{4}Br^{249} Hom.
1537 *οὔατα βάλλει· τὰ ὦτά μου ἠχεῖ A^{3}, [ἢ ἄγχει] (Κ 535) Hom.
1538 οὐατόεν· ὦτα ἔχον. καὶ ὅπερ ἔχει κρεμαμένους ὄζους πολλούς, ὀζῶδες, τραχύ D
1539 οὐ βατόν· οὐ πορεύσιμον
1540 *⟩ουβρῶστις· λιμός AS^{1}. [ἢ οὐβρώττης]
1541 οὐ γὰρ ἄκανθαι· παροιμία. Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις (fr. 499 K.–A.)· ‘οὐδ᾽ ἴσως ἀντέλεγες τούτῳ τῷ δειπνίῳ· οὐ γὰρ ἄκανθαι’, καὶ ἐν Δράμασιν ἢ Κενταύρῳ (fr. 284 K.–A.)· ‘χωρεῖ δ᾽ ἄκλητος ἀεῖ δειπνήσων· ⟨οὐ γὰρ ἄκανθαι⟩’. ἔοικε δὲ ὑπομιμνήσκων τὴν τοῦ βίου διαφορὰν καὶ μεταβολήν D?
1542 οὐ γὰρ ἦ· ἴσον τῷ οὐ γὰρ δή. οὐ γὰρ δὴ ὑγιαίνει
1543 οὐδ᾽· οὐδέ (Α 90) Hom.
1544 οὐδ᾽ ἅλα· οὐδὲ τὸ †ψυχρὸν καὶ ἄφθονον εἰς χρῆσιν. Αἰγύπτιοι δὲ τῶν ἄρτων τὰ φλογίσματα (ρ 455) D
1545 οὐδαμῶς· οὐδέποτε [οὐδαμῶς]. καὶ τὸ οὐδέν
1546 *οὐδ᾽ ἀεσίφρων· οὐδὲ ἀνόητος (Υ 183) AS^{19} Hom.
1547 οὐδαῖοι· χθόνιοι, ἐπίγειοι
1548 οὐδαμινός· οὐδενὸς λόγου ἄξιός (AS^{22}) ἐστί. βραχύς. εὐτελής
1549 οὐδαμῶς· οὐδέποτε. ἢ παντελῶς (Eur. Hipp. 609 ..) Eur.
1550 οὐδ᾽ ἀπόνητο· οὐδὲ ὄνησιν ἔλαβεν (λ 324) Hom.
1551 *οὖδας· γῆ. ἢ τὸ ἔδαφος (Λ 749 ..) AS^{28} Hom.

1534 gl. Psalm. **1541** fin. cf. Ph ο 601 **1544** | Schol. **1547** cf. Schol. **1550** cf. Schol. **1551** cf. Schol. | Ap. S. 124, 6

1531 σύναθρον H: Mus. **1532** Thessalicum vel Cyprium Schm. (Schulze, GGA 1897, 873, 1); φεῦ, αἴ Munck. l. c. (‘inepte’ Schm.; ‘rectius’ La.) **1533** et **1535** coniung. Voss., v. ll. La. **1535** cont. H: sep. Alb., nov. gl. Schm. | ‘vix Graecum nisi ουδαρον = ὕδαρον scrib.’ La. **1537** ἄγχ . H: Mus.; incl. del. Schm. **1540** e gl. β 881 corrupt. (Salm.) | οὐ βρώττης? H: **1541** καταλαμβανοῦσαι H: Mus. | δειπνείω H: Heins. | ἧκεν ταύρω H: Flor. Salm. Sop. al. | add. Verw. Brun. = Ph | βίου sscr. m.1 u.v. H **1542** ἥ H: Alb. | τὸ H: Scal. | δεῖ, ὑγιαίνει H: Mus.; e gl. 1734 corrupta cens. La. **1543** cont. H: nov. gl. Scal. Voss. **1544** ἀλλὰ H: Mus. | το μικρο⟨τατ⟩ον La.; τὸ πρόχειρον Erbse; τὸ ⟨δα⟩ψιλές (vel πενιχρόν vel τοὐλάχιστον) De Stefani 2007 (2) | ἀφνονον H: Mus. **1545** duo gll. H: coniunxit La. **1546** οὐδαεσσίφρων H: Mus. (-σσ-), Ald. = K | ἀνόητον H: Jens. Luc. Hes. 175 = K **1551** οὐδασγῆ H: Mus.

Hom. **1552** *οὐδέ ἕ φημι· οὐδὲ αὐτὸν λέγω (Ε 103) g[13]AS[18]

Hom. **1553** *οὐδ᾽ ἐλεαίρει· οὐδὲ ἐλεεῖ (Λ 665) A[20]S[32]

Hom. **1554** οὐ δέμας· οὐδὲ κατὰ τὸ σῶμα (Α 115)

Hom. **1555** οὐδ᾽ ἐμάτησεν· οὐδ᾽ ἐλήρησεν (Ψ 510?)

Hom. **1556** οὐδὲ μέν· οὐδὲ μήν (Α 154)

Hom. **1557** οὐδέν· ἀντὶ τοῦ οὔ (Α 244 ..)

D? **1558** οὐδ᾽ ἀπὸ παλαιφάτου δρυός· τῆς πάλαι φημιζομένης, ὅτι ἐξ αὐτῆς ἐγένοντο ἄνθρωποι. τινὲς δὲ γράφουσι παλαιφύτου, ἐπειδὴ παλαιόν ἐστι φυτὸν ἡ δρῦς (τ 163)

Att. **1559** οὐδὲν ἀπὸ τρόπου· ἀντὶ τοῦ οὐκ ἀπεικός (Plat. Phaedr. 278d)

D **1560** οὐδ᾽ ἐν δέρματι· οὐδὲ δέρμα ἴδιον ἔχοντα. ⟨ᾧ⟩ οὐδὲν ὑπῆρχεν (com ad. fr. 402 K.–A.)

1561 οὐδὲν ἧττον· μᾶλλον

Att.? **1562** οὐδενίας· εὐτελείας (Plat. Phaedr. 234e)

Prov. **1563** οὐδὲν ἱερόν· παροιμία λεγομένη ἐπὶ τῶν τέλεον ἀχρήστων πρὸς τὸ συλλαβέσθαι καὶ ἐπαρκεῖν, καὶ ἑαυτοῖς ⟨καὶ⟩ τοῖς γνωρίμοις. φασὶν δὲ Ἡρακλέα πρῶτον θεασάμενον τὸν Ἄδωνιν εἰπεῖν· οὐδὲν ἱερόν· ἴσως ἦν †ἀνίδρυτον, διὰ τὸ πρὸς μηδὲν εἶναι χρήσιμον

D **1564** οὐδενόσωρα· οὐδὲ μιᾶς φροντίδος ἄξια AS[29]. ὠρεῖν γὰρ τὸ φροντίζειν καὶ φυλάσσειν· ἔνθεν τὸ ὀλιγωρεῖν καὶ πολυωρεῖν. Ἀπίων (fr. 94) δὲ οὐδενὸς φυλακτικά (Θ 178)

Prov. **1565** οὐδ᾽ ἐν σελίνοις· παροιμία ἐπὶ τῶν μηδὲ κατὰ τοὐλάχιστον διηνυκότων οἷς ἐπέθεντο. ἐν γὰρ τοῖς λεγομένοις περικηπίοις τὰ σέλινα καὶ τὰ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν ἡ παροιμία· οὔπω οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος, καθάπερ οὐδὲ οἱ εἰς τοὺς κήπους εἰσιόντες ἐν τοῖς σελίνοις εἰσίν

1566 οὐδέ νύ πως· οὐδαμῶς

1567 *οὐδέ νυ τόν· οὐδὲ τοῦτον g[14]AS[17]

1568 οὐ δεόντως· παρανόμως

1554 cf. Schol. **1557** cf. Schol. **1558** cf. Schol.[HQV] **1559** Σ″ (Ph ο 611. Su ο 783) **1563** Zenob. Ath. 1, 12. vulg. 5, 47 **1564** – ἄξια Ap. S. 123, 32; Schol. **1565** cf. Σ″ (Ph ο 619. Su ο 808); Prov. Bodl. 714

1553 οὐδελεερεῖ H: Mus. = K **1555** οὐδὲ μάτησεν· οὐδελήρησεν H: Mus. **1556** le. οὐδὲ μην H: Mus. **1558** παληφάτου H: Mus. = Schol. | παλαιφάτου H: Palm. Salm. Sop. al. **1560** le. οὐδὲν H: Sop. Salm. Heins. expl. οὐδὲν δέρμα H: Heins. | add. La. | expl. ὑπῆρχον H: Alb. **1562** οὐδενείας H: La. = Plat. **1563** add. Meurs. Spic. in Theocr. 30 εἰπεῖν οὐδ᾽ ἴερον H: Mus. = Zenob. **1564** οὐδενὸς ὥρα H: Mus. = testt. | ὀρεῖν H: Mus. | πολυορεῖν H: Mus. | ἀππίων H: Alb. **1565** οὐδὲν H: Mus. = testt. | σελίνοις H, nescio quid (?ο) s. ν, del. | μὴ δὲ H: Mus. | δεικνυκότων H: Mus. | παρακηπίοις H: Alb. = Σ″ | οὕτω· H: Schm. = Σ″ | ἄρχειν H: Mus. = testt. | ἡ H: Mus. = testt. **1566** πῶς H: accent. Mus.

1569 οὔδεος· ἐδάφους (Μ 448) Hom.
1570 οὐδέ πή ἐστιν· οὐκ ἔστιν (Ζ 267) Hom.
1571 οὐδ᾽ ἐπινυκτίδιος· οὐδὲ ἐπὶ μιᾶς νυκτός. οὐδὲ πρὸς μίαν νύκτα (Callim.? fr. 775 Pf.) D?
1572 οὐδ᾽ ἐπηρώτων· οὐδ᾽ ἠρώτων
1573 οὐδ᾽ ἐρέοντο· οὐδ᾽ ἀνεπυνθάνοντο (Α 332) Hom.
1574 *οὐδέτερον· οὐδὲ ἓν τῶν δύο (Eur. Phoen. 545 ..) vg[11](Br[258]) Eur.
1575 οὐδέ τί πω· οὐδέποτε. οὐδαμῶς (Β 252) Hom.
1576 οὐδ᾽ ἐτρύπησε κρόκην· οὐδ᾽ εἰργάσατο (com. ad. 403 K.–A.) D
1577 οὐδὲ φυήν· οὐδὲ τὴν φύσιν (Α 115) Hom.
1578 *οὐδ᾽ ἠβαιόν· πρὸς ὀλίγον, οὐδ᾽ ὀλίγον AS[21], ἢ ὧδε ὀλίγον (Β 380) Hom.
1579 *οὐ δηναιός· οὐ χρόνιος (Ε 407) S[33] Hom.
1580 οὐδ᾽ ἡντιναοῦν· οὐδὲ τὴν τυχοῦσαν
1581 †οὐδῆσαι· πρίασθαι. ἀποδόσαι (S[34])
1582 οὐ δῆτα· οὐδαμῶς (Eur. Hec. 756 ..) Eur.
1583 οὐ δίκαον· οὐ δίκαιον D?
1584 *οὐ διεκρίθη· οὐκ ἀμφέβαλεν. οὐκ ἐδυσπίστησεν (Ep. Rom. 4, 20) vg[4]AS[23]Br[253] N. T.
1585 *οὐ διήμαρτεν· οὐκ ἀπέτυχεν vg[8]AS[27]Br[257]
1586 †οὐδιτανοῦν· εὐτελοῦς, οὐδενὸς λόγου ἄξιος
1587 *οὐ διωσόμεθα· οὐκ ἀποβαλούμεθα vg[1]Br[252](AS[15]), οὐκ ἀπορρίψομεν g[1]AS[15]
1588 οὐδ᾽ ὅγε πρίν· οὐδὲ οὗτος καὶ πρίν (Α 97) Hom.
1589 οὐδ᾽ ὄθομαι· οὐδὲ ἐπιστρέφομαι (Α 181) Hom.
1590 οὐ δοκέουσιν· οὐ προσδοκῶσιν. οὐ νομίζουσιν (Greg. Naz. c. 2, 1, 1,168 [37, 982, 13 M.]) Greg. Naz.
1591 οὐδ᾽ ὅλως· οὐδὲ τοῦ τυχόντος
1592 οὐδ᾽ ὀνομήνω· οὐδ᾽ ὀνομάσω (Β 488) Hom.
1593 *οὐδός· βαθμός, βατήρ vg[3]A[31]Σ. ὁ πρὸ τῆς θύρας βαθμός, ⌊καὶ ὁδός (Ζ 375) A[31] Hom.
1594 οὐδ᾽ οἴοιτο· οὐδ᾽ ἂν ἐνοήθη

1569 Schol. **1575** | Schol. **1577** cf. Schol. **1578** οὐδ᾽ ὀλίγον Schol. **1579** cf. Schol. **1584** gl. Apost. 31 | **1588** Schol. **1589** cf. Schol. **1592** cf. Schol. **1593** βατήρ – βαθμός Σ ο 255; – βατήρ .. ὁδός cf. Schol.; ὁ – Ap. S. 123, 33

1569 οὐδεὸς· ἔδαφος H: Mus. **1570** πει H: Mus. **1571** ἐπὶ νυκτίδος H: Mein. 1857, 611 **1573** spat.οὐδὲ (tum rubr. ο praefix.) ῥέοντο H: Mus. | ἀνεπυνθάνετο H: Mus. **1576** κροκὴ H: Mus. **1577** φύην H: accent. Mus. **1578** ἠβαὶ H: Mus. = Schol., **1579** δηναῖος H: accent. Mus. **1580** οὐδνητιναοῦν H: Mus. **1581** πριάσθαι H: accent. Mus. | v. l. gl. 79 (Salm. Guyet.) **1583** ‘Lesbium? cf. Be. 1, 17’ La. **1584** ἀμφέβαλλ(εν) H: Mus. = K gl. Apost. **1585** οὐδ᾽ ἥμαρτον H: Alb. = K **1586** v. l. gl. 1897 **1587** ἀποβαλλόμεθα H (K[AS]): Mus. = K[vg] **1590** προσδοκοῦσιν H: Mus. **1594** ἐνοήθ(ην) H: Jens. Luc. Hes. 176

1595 οὐδ᾽ ὁτιοῦν· οὐδὲ τὸ σύνολον
D 1596 οὐδραία· ὑδρία. μέτρον τι, ᾽Αττικοῦ μετρητοῦ ἥμισυ
D 1597 οὐδραίνει· περικαθαίρει S[35]. Λάκωνες
D 1598 †οὐδύεται· ἐρίζει
1599 *οὗ εἵνεκεν· διότι, ἕνεκεν AS[2]
Hom. 1600 οὐ ἕθεν· οὐδαμῶς αὐτῆς (A 114)
Lat. 1601 *οὐεριδάριος· βεριδάριος AS[3]
1602 †οὖθα· σποδός. ὁδός†
Hom. 1603 οὖθαρ· τὸ πιότατον τῆς γῆς, ἤτοι τῆς χώρας (I 141 ..). καὶ *τῶν ζῴων τὸ κατὰ τοὺς μαστούς [A[7]]
D 1604 οὐθάρα· ἐπὶ ἀσκοῦ ὁ κατὰ τὸ οὖθαρ τόπος. οἱ δέ, περὶ ὃν στρέφεται [ὁ χορός, ἢ] ὁ τροχός
Hom. 1605 *οὔθατα· μαστοί (ι 440) g[ουκ 4]Br[488](Σ)
D 1606 οὔθατα βόσκει· αἶγας βόσκει (Callim.(?) fr. 776 Pf.)
1607 *οὐθείς· οὐδὲ εἷς vg[3]AS[10](Br[261])
Hom. 1608 *οὐ θέμις· οὐ δίκαιον (Ξ 386) vg[4]AS[11]Br[263]
1609 *οὐθέν· οὐδέν v[2]g[ουδ 12]A[8]Br[260]
1610 †οὐθένεια· μηδαμινή, εὐτελής
1611 *οὐθενείας· ἀσθενείας AS[9]
1612 οὐθ᾽ ἕτερον· οὐδὲ ἓν τῶν δύο A[6]
Hom. 1613 οὐ θήν· οὐ μήν. οὐ διὰ παντός (Ξ 480)
D 1614 οὐϊτόν· τὸ ὑπ᾽ ἐνίων οἰτόν
1615 †οὐδειελίζω· οὐ φροντίζω
1616 *οὐκ ἀγεννῆ· οὐκ ἀνίσχυρα (vg[50]AS[117]Br[294]), ἀταλαίπωρα (AS[117])
LXX 1617 *οὐκ αἰδεσθείς· οὐκ αἰσχυνθείς (2. Macc. 4, 34) vg[43]AS[107]
Hom. 1618 οὐκ ἀθεεί· οὐκ ἄνευ θεοῦ. ἢ οὐ χωρὶς θαύματος (σ 353)
Hom. 1619 *οὐκ ἀΐεις· οὐκ ἀκούεις (O 248) (S[127])
Hom. 1620 *οὐκ ἀΐοντι ἐοικώς· οὐκ ἀκούσας τὸ πρέπον (Ψ 430) A[91]
1621 οὐκ ἄκοντες· [οὐχ] ἑκόντες [S[129]]
Hom. 1622 οὐκ ἀλαπνόν· οὐκ ἀσθενές (E 783)
Hom. 1623 *οὐκ ἀλεγίζω· οὐ λόγον ἔχω (A 180) [AS[81]]

1600 Schol. **1605** Ap. S. 124, 7; Schol. **1618** Schol. | **1619** Schol. **1622** Schol. **1623** cf. Schol.

1596 ὑδρεία H: Schm. (? HSt. Ind.) **1597** i. e. ὑδραίνει Ahr. D. 2, 125 | παρακαθαίρει H: Alb. = K **1598** ὀδύεται (ad ὀδύσσασθι, Lat. odi) agn. Schulze QE 341 **1603** οὔθαρ H: accent. Pears. Alb. **1604** οὔθαρ (spir. acc. dub.) H: Mus. | 'non intellegitur, cf. υθαραν IG 4, 742, 20 (signif. inc.)' La. | dittogr. del. La. **1607** οὐθεῖς H: accent. Mus. **1610** μ . δαμινὴ H: Mus. | cf. gl. 1562 **1614** οὔιγγον (Aegypt.) Theophr. h. pl. 1, 1, 7, 'sed ουιτον videtur traditum 1, 6, 11' La. | αἰτόν H: HSt. Ind., cf. Plin. n. h. 21, 88 **1615** v. l. gl. 1623 (Alb.), ubi K expl. ου φροντιζω **1618** ἀθει (acc. inc.) H: Mus. = Schol. **1620** ἀιόντι H: accent. Ald. **1621** incl. del. Jens. Luc. Hes. 176 coll. K (expl. βουλόμενοι) **1622** ἀλάπαδνον H: accent. Mus. **1623** v. l.: gl.1615

1624 *οὐκ ἀλέγοντες· οὐ φροντίζοντες (Π 388) (g[6]) Hom.
1625 οὐκ ἄλκαρ· οὐ βοήθεια (Ε 644) Hom.
1626 *οὐκ ἁλώσιμα· οὐκ εὔληπτα AS[65]
1627 *οὐκ ἄμοιρος ἦν· οὐκ ἐκτὸς μοίρας ἦν (trag. ad. fr. 248 K.–Sn.) vg[5]AS[61]Br[267]
1628 *οὐκ ἀμώμητος· οὐκ ἄψεκτος vg[7]AS[62]Br[268]. οὐχ ὑγιής
1629 *οὐκ ἂν δή· οὐδαμῶς ἄν AS[95]
1630 οὐκ ἀναλίσκεται· οὐκ ἐκλείπει
1631 *οὐκ ἀνεύθυνον· εὐκατάκριτον (vg[19]AS[68]Br[272])
1632 οὐκ ἀνέχομαι· οὐ καταδέχομαι (Esai. 1, 13) LXX
1633 *οὐκ ἀνίει· οὐκ ἀφίει AS[120] [οὐ πρέπει]
1634 *οὐκ ἀνήσει· τὰ αὐτά (Deut. 31, 8 ..) (vg[18]AS[88]Br[281]) LXX
1635 *οὐκ ἄν τι· οὐδαμῶς ἄν AS[96]
1636 οὐκ ἀξιόχρεως· οὐχ ἱκανός (Eur. Or. 597) Eur.
1637 οὐκ ἀπᾴδοντα· οὐκ ἀλλότριον
1638 *οὐκ ἀπᾳδόντως· ὅμοιον (AS[64])
1639 *οὐκ ἀπαναίνεται· οὐκ ἀποστρέφεται vg[49]AS[115]Br[293]. [οὐκ ἀπόχρη S[115]]. οὐ παραιτεῖται vg[49]Br[293]
1640 *οὐκ ἀπεικός· οὐκ ἄτοπον vg[1]AS[58]Br[264]. ἄξιον g[1]AS[58]Br[264]. ὀφειλόμενον. πρέπον. ὅμοιον. εἰκὸς δέ ἐστίν παρὰ τὸ ἐοικός. εἶτα ἀπεικὸς τὸ ἀπρεπές, τὸ ἀνόμοιον καὶ τὸ οὐκ ἀπεικὸς διὰ δύο ἀρνήσεων μία συγκατάθεσις· ὡς τὸ ἥκιστα οὐδαμῶς, οὐχ ἥκιστα τὸ μάλιστα AS[58] Att.
1641 *οὐκ ἀπεοικός· οὐκ ἀπρεπές vg[11]A[63]Br[269]
1642 *οὐκ ἀπέχρη· οὐκ ἤρκει AS[121]
1643 *οὐ κατακτενεῖς· οὐ καταβιάσῃ. οὐ καταβαρήσειςA[101]
1644 οὐκ ἀπᾴδομεν· οὐκ ἀπαρνούμεθα
1645 *οὐκ ἀπηξίωσεν· ἠξίωσεν AS[89]
1646 οὐκ ἀπίθανος· πιθανός
1647 οὐκ ἀπολείπεται· οὐκ ἀποστερεῖται
1648 οὐκ ἀπορεῖ· [οὐκ] ἀρκεῖ. εὐπορεῖ
1649 *οὐκ ἀπορηθήσεται· οὐ χρήσει (Esai. 8, 23) AS[106] LXX
1650 *οὐκ ἀπορρυήσεται· οὐ κατατακήσεται (Ps. 1, 3) (AS[104]) LXX
1651 οὐκ ἀποφώλια· οὐκ ἀδίδακτα. οὐ μάταια (ε 182) Hom.

1625 cf. Schol.

1627 μοίρας om. K **1630** ἐκλίπει H: Mus. **1633** ἀνήει … ἀφήει H: Mus. = K | incl. Schm. **1636** ἀξιοχρέ(ους) H: Mus., accent. Schm. | οὐκ H: Mus. | ἱκανῶς H: Salm. **1639** ἀποχρὴ H: accent. Mus. | incl. e gl. 1642 illat. del. Alb. **1643** καταστενεῖς … καταβαρήσει H: Alb. = K **1644** ἀπαδοῦμεν H: Schm. **1647** ἀστερεῖται H: Mus. **1648** incl. del. Jens. Luc. Hes. 146 **1649** χρήζει H (K): Valck. Gl. sacr. 29 **1651** ἀποφωλία H: accent. Mus.

1652 *οὐκ ἀπόχρη· οὐκ ἀρκεῖ vg^{3}AS^{60}Br^{266}
1653 οὐκ ἀπρακτήσεις· οὐκ ἀποτάξεις
1654 *οὐκ ἀπώναντο· οὐκ ὠφελήθησαν vg^{2}A^{59}Br^{265}
1655 οὐ κάρος· οὐ νέκρωσις
1656 οὐ καρτερεῖς ἢ δεῖ· οὐ φρόνιμος εἶ
1657 *οὐκ ἄσημοι· ἐπιφανεῖς. ⌊οὐκ ἀφανεῖς (vg^{51}S^{132}Br^{295}). οὐκ ἄδοξοι (S^{132})
D? Att.? **1658** οὐκ ἀσκίω· ‘οὐκ ἀσκίῳ μεντἄρ᾽ ἐμορμολύττετο αὐτούς, ἐπεὶ τάδ᾽ ἔστ᾽ ἀληθῆ’ (Crat. com. fr. 10 K.–A.). παροιμία ἐπὶ τῶν καὶ τὰ κενὰ δεδοικότων ἐπεὶ κενὸς ὁ ἀσκός
1659 *οὐκ ἄστεκτος· οὐκ ἀφόρητος AS^{92}. οὐκ ἀβάστακτος
1660 *οὐκ ἀσυντελές· οὐκ ἀχρήσιμον (vg^{26}AS^{74}Br^{277})
Hom. **1661** οὐ κατὰ κόσμον· οὐ κατὰ τρόπον (B 214)
N. T. **1662** *οὐ καταναρκήσω· οὐ κατοκνήσω (2. Ep. Cor. 12, 14) AS^{122}
1663 οὐ κατ᾽ ἀσυμφανές· δῆλον
N. T. **1664** *οὐ κατενάρκησα· οὐ κατεβάρησα (2. Ep. Cor. 12, 13) vg^{45}AS^{112}
1665 [οὐκ ἄτραχυ] *οὐκ ἄτραχυς· τραχύς AS^{71}Σ
1666 οὐκ ἄωρον· [οὐ] κατὰ καιρόν. ⌊⟨οὐ⟩ παρὰ καιρόν g^{8}
1667 οὐκ ἔασαν· οὐκ ἀφῆκαν
Hom. **1668** *οὐκ ἔασκεν· οὐκ εἴα (B 832) AS^{97}
LXX **1669** *οὐκ ἔγρυξεν· οὐκ ἐφθέγξατο (Ios. 10, 21) vg^{21}AS^{70}Br^{274}
1670 οὐκ ἐδέξατο· οὐ προσήκατο
Hom. **1671** *οὐκ εἴασκεν· οὐκ ἠφίει. ἐκώλυσεν (Υ 408) AS^{87}
1672 *οὐκ ἔην· οὐ δυνατὸν ἦν AS^{94}
1673 *οὐκ εἴκουσαν· οὐχ ὑποχωροῦσαν A^{67}Br^{271}(vg^{17})
1674 *οὐκ εἰσῄεις· οὐκ εἰσήρχου AS^{125}
1675 †οὐκ εἰσμένησαν· οὐκ ἐχάρησαν
Hom. **1676** *οὐκ εἰῶ· οὐκ ἐῶ (Δ 55) A^{93}
1677 οὐκ ἑκών· οὐ βουλόμενος
1678 *οὐκ ἐλελήθεις· οὐκ ἔλαθες AS^{90}(vg^{36}Br^{282})

1658 Prov. Bodl. 715 **1661** Schol.; Σ ο 263 **1664** gl. Apost.186 **1665** Σ ο 265 **1668** Schol. **1676** Schol.

1652 ἀποχρεῖ H: Mus. = K **1655** οὐ καρὸς H: accent. Mus. | νεικός H: La.; οὐ νάρκωσις Erbse **1656** καρτερία ἢ δ᾽ εἶ H: La. **1657** ἄσιμοι H: Mus. = (K) **1658** μὲν, τ᾽ ἄρ᾽ H: Mein. FCG 5, 48 | ἐμορμολύττετ᾽ H: id. 5, 25 | εἶτα δ᾽ ἔστ᾽ H: id. 2, 1, 235 | de Mein. ci. dicit La. ‘trimeter caesura caret, sed et trochaei, quos restituit idem 5, XLVIII legitimam diaeresin non habent’ **1659** οὐ φορητὸς H: HSt. = K **1660** cont. H: nov. gl. Mus. **1661** οὐ κατὰ τὸ πρέπον Schol., ‘ft. rectius’ La. **1663** κατὰ συμφανὲς H: Voss. **1665** dittogr. del. Alb. = KΣ **1666** οὐ trsp. Pears. 547; del. Alb. **1669** ἔγρυζεν H: Voss. Biel. = K **1670** προσήκ . το H: Mus. **1671** εὐείασχεν H: Mus. = K | ἤφιεν H, ηφιειν K: Schm. **1673** le. οὐχ H: Mus. = K | εἰκοῦσαν H: accent. Mus. | -σιν … -σιν K^{vg} | v.l.: gl. 1926 **1674** εἴσεια H: Mus. = K **1675** v. l. gl. 1715 (Mus.)

1679 *οὐκ ἐκάθισεν· οὐκ ἐνέμεινεν (Ps. 1, 1) g[56]A[111] LXX
1680 οὐκ ἔμβαρος εἶ· οὐ φρονεῖς. ἀπὸ τῆς ἐμβάρου φρονήσεως (Men. fr. 330, 1 K.–A. D
1681 *οὐκ ἐμφορούμενοι· οὐ πληρούμενοι AS[78]
1682 οὐκ ἔναιμος· οὐ δίκαιος
1683 οὐκ ἐνασπιδώσομαι· οὐ καθοπλισθήσομαι (Ar. Ach. 368) D
1684 *οὐκ ἐνδέχεται· οὐ δυνατόν ἐστιν (Ev. Luc. 13, 33) A[123] N. T.
1685 *οὐκ ἐνδώσει· οὐ χαυνώσει AS[105]
1686 οὐκ ἐνῆν· οὐκ ἠδύναντο
1687 *οὐκ ἐνήνοχά σοι· οὐκ ἀγήοχα (vg[48]Br[292]). οὐκ ἤνεγκά σοι (Gen. 31, 39) AS[114](vg[48]Br[292]) LXX
1688 *οὐκ ἐνόν· οὐ δυνατόν g[27]
1689 *οὐκ ἔξωροι· οὐκ ἄκαιροι g[15]AS[66]Br[270]. [οὐκ ἄκληροι]
1690 οὐκ ἐπέοικεν· οὐ πρέπον ἐστί (Α 126) Hom.
1691 οὐκ ἕπεται· οὐκ ἀκολουθεῖ
1692 οὐκ ἐπέπυστο· οὐκ ἀκηκόει (Ν 674) Hom.
1693 †οὐκ ἐπέφετο· οὐκ ἠκολούθει
1694 οὐκ ἐπιεικτόν· οὐ μέτριον (Ε 892) Hom.
1695 οὐκ ἐπιγλωττήσομαι· οὐ βλασφημήσω (Ar. Lys. 37) D
1696 *οὐκ ἐπιλήσομαι· οὐκ ἐπιλαθήσομαι (Χ 387) (vg[32]AS[86]Br[279]) Hom.
1697 *οὐκ ἐπιτεύξεται· οὐκ ἐπιτυγχάνει (Prov. 12, 27) vg[20]AS[69](Br[273]) LXX
1698 *οὐκ ἐρηρεισμένος· οὐκ ἐστηριγμένος g[25](A[76])
1699 *οὐκ ἔσθενον· οὐκ ἴσχυον (3. Macc. 3, 8) g[46]A[113]Br[291] LXX
1700 οὐκ ἐτάλασσεν· οὐκ ἐτόλμησεν (Callim. h. Dian. 62) D
1701 οὐκ ἔστερξεν· οὐχ ὑπέμεινεν
1702 *οὐκ ἔσφαλεν· οὐκ ἐκινδύνευσεν (Iob 21, 10) vg[40]AS[103]Br[288] LXX
1703 οὐκ ἐτός· οὐ ματαίως, οὐκ ἀληθῶς Att.
1704 οὐκέτι· οὐχί, ἢ οὔ
1705 †οὐκ ἐτυρώθη· οὐκ ἐπαισχύνθη
1706 *οὐκ εὐδιάθετος· οὐ δυναμένη εὐχερῶς γήμασθαι AS[119] [ἢ εὐμαρῶς γίνεσθαι]
1707 *οὐκ εὐθὺ σκοποῦ· οὐκ ἀκριβῶς vg[23]AS[72]Br[275]. [ἢ ὀρθῶς βλέποντος]

1695 Schol. Ar.; Ph ο 645; Prov. Bodl. 716; Diogen. 7, 3 **1700** cf. Schol. Callim. **1703** cf. Σ″ (Ph ο 650. Su ο 888) | **1707** cf. Σ ε 948

1680 ἐμβαρεῖ H: Kust. | φρονεῖ H: Kust. | cf. Wil. Kl. Schr. 1, 357, 2. Men. Schiedsger. 141, 2 **1682** ἐναίσιμος Sop., 'recte, nisi expl. corrupta' La. **1689** dittogr. del. Alb. **1690** ἐπεογκεν (acc. dub.) H: Mus. **1691** οὐχ Brun. **1693** v. l. gl. 1708 (Mus.) **1694** ἐπίεικτον H: accent. Mus. **1697** expl. ἐπιτύχει H (K[vg]): La. = K[AS] **1698** ἐριρισμένος H: ἐρηρ- Mus. = K, -εισμ- Alb. = K **1700** ἐστάλασεν H: HSt. **1703** ἔτας H: Mus. = Σ″ **1705** v. l. gl. 1723 (Kust.) **1706** dittogr. del. Cob. 1881, 376 **1707** εὐθυσκοπου (acc. dub.) H: La., cf. Σ ε 948 | 'interpolata postquam ευθυσκοπου perperam pro uno verbo acceptum est' La.

Eur. **1708** *οὐκ ἐφέπετο· οὐκ ἠκολούθει (Eur. Hipp. 1307 v. l.) AS[79]

1709 *οὐκ ἐφίενται· οὐκ ἐπιθυμοῦσι vg[24]AS[73]Br[276]

1710 οὐκ ἐφικνεῖται· οὐ φθάζει

1711 vacat

Hom. **1712** *οὐκ ἔχαδε· οὐκ ἐχώρησεν (Δ 24) AS[85]

1713 οὐκ ἥκιστα· μάλιστα

1714 οὐκ ἤμειψεν· οὐκ ἤλλαξεν

LXX **1715** *οὐκ ἠσμένισαν· οὐκ ἐχάρησαν (1. Regn. 6, 19) vg[29]AS[75]Br[278]

Hom. **1716** οὐκί· οὐχί (B 238)

1717 οὐ κιγχάνει· οὐχ εὑρίσκει

Hom. **1718** *οὐκ ὄθεται· οὐκ ἐπιστρέφεται (O 166) AS[83]

Eur. **1719** *οὐκ ἐφάτην· οὐκ εἶπον. δυϊκῶς (Eur. Hec. 128) vg[30]AS[80]

1720 *οὐκ οἷόν τέ ἐστιν· οὐ δυνατόν ἐστιν AS[99]

1721 *οὐκ οἰστά· οὐ φορητά AS[124]

1722 οὐκ ὀλεῖσθαι· οὐ φθαρήσεσθαι

LXX **1723** *οὐκ ἐτυλώθη· οὐκ ἐπαχύνθη AS[102]. οὐκ ἐτραυματίσθη (Deut. 8, 4) vg[39]AS[102]Br[285]

1724 *οὐκ ὀνησιφόρον· οὐκ ὠφέλιμον AS[77]

1725 οὐκοῦν· ἐπειδή. ἢ *λοιπόν g[31]

1726 *οὐκ ᾤετο δεῖν· οὐκ ἐνόμιζε συμφέρειν vg[37]AS[98]Br[283]

1727 οὐκ ὤν· οὐχ ὑπάρχων. οὐκ ἐγένετο

1728 *οὐκ ὦπται· οὐκ ἐφάνη (A[100])

D **1729** οὐ κωφεῖ· οὐ βλάπτει, οὐ πηροῖ (Callim. fr. 195, 34 Pf. Soph. fr. 198e R.)

D **1730** οὐλάδες· πῆραι, θύλακοι

D? **1731** †οὐλαίνει· οὐ σχολάζει

Hom. **1732** *οὐλαμός· τάξις στρατιωτική, θόρυβος vg[1](A[18]Br[296]). ἢ ἄθροισμα (Δ 251 ..) (g[5]A[16])

